v. zu Richthofen

HESIODI
OPERA ET DIES

E
VETERUM GRAMMATICORUM
NOTATIONIBUS
ET
OPTIMIS LIBRIS MSS.

RECENSUIT

FRID. AUG. GUIL. SPOHN.

EDITIO ~~MINOR~~ singularis.

IN VSUM

SCHOLARUM ET ACADEMIARUM.

LIPSIAE
IN LIBRARIA WEIDMANNIA
MDCCCXIX.

COMMILITONIBUS

ET

AUDITORIBUS

SACRUM

ESSE VOLUIT

EDITOR

Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
εἰσὶ δύω· τὴν μέν κεν ἐπαινήσειε νοήσας,
ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
σχετλίη· οὔ τις τήν γε φιλεῖ βροτός, ἀλλ' ὑπ' ἀνάγκης [5. Brunck.]
ἀθανάτων βουλῇσιν ἔριν τιμῶσι βαρεῖαν.
τὴν δ' ἑτέρην, προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννή,
θῆκε δέ μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
γαίης τ' ἐν ῥίζῃσι καὶ ἀνδράσι, πολλὸν ἀμείνω·
ἥ τε καὶ ἀπάλαμόν περ ὅμως ἐπὶ ἔργον ἐγείρει. [10. Br.]
εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον, ὃς σπεύδει μὲν ἀρόμεναι ἠδὲ φυτεύειν,
οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων,
εἰς ἄφενον σπεύδοντ'· ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσιν.

11. Non igitur unum erat genus contentionis, vti antea putabam; sed duo sunt, vti nunc sentio, alterum expertus. ἐπὶ Schaef. ad Long. p. 427.

12. ἐπαινέσσειε alii; est vero recentior forma.

19. Al. γαίης ἐν ῥ. Iungas: Iuppiter posuit eam γαίης τ' ἐν ῥίζῃσι καὶ ἀνδράσι, π. ἀ. [οὖσαν].

20. Al. ἀπάλαμνόν περ.

22. ὃς i. e. οὗτος. Al. ἀρώμεναι, al. ἀρόμμεναι, illud dubium, ob f. ἀρόσω, hoc non necessarium. 24. v. 639. τὸ ἄφενος.

καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων,
καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.
Ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ·
μηδέ σ' Ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
νείκε' ὀπιπτεύοντ', ἀγορῆς ἐπακουὸν ἐόντα.
ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε,
ᾧ τινὶ μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
ὡραῖος, τὸν γαῖα φέρει, Δημήτερος ἀκτήν·
τοῦ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοις
κτήμασ' ἔπ' ἀλλοτρίοις. σοὶ δ' οὐκ ἔτι δεύτερον ἔσται
ὧδ' ἔρδειν· ἀλλ' αὖθι διακρινώμεθα νεῖκος
ἰθείῃσι δίκαις, αἵτ' ἐκ Διός εἰσιν ἄρισται.
Ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ', ἄλλα τε πολλὰ

---

25. *κεραμεῖ κεραμεὺς κοτ.* Brunck. ex vno Aristot. (Republ. V. 10.) loco; iusto festinantius. Reliqui scriptores, qui hunc v. commemorant, ipse quoque Aristot. alio loco, et omnes codd. *κεραμεὺς κεραμεῖ κοτ.* habent.

30. Al. *ὤρη* tempus; *πέλεται* est, esse potest et debet. 31. Vulgo *ᾧ τινι.*

33. Al. male *τοῦ κεκορεσσάμενος*, ad formas *λελαβέσθαι, κεκάμωσι, ἐκλελαθών*, al.

34. Vulgo *κτήμασ' ἐπ' ἀλλ.*

35. Tibi non iterum licebit, ita agere; nunc sero est, vbi vero denuo coeperis litigare, illico iuste causa nostra agatur.

37. Iam diuisimus opes paternas, aequalem accepisses partem, si recte et iustè diuisisses. Sed non ita

ἁρπάζων ἐφόρεις, μέγα κυδαίνων βασιλῆας
δωροφάγους, οἳ τήνδε δίκην ἐθέλουσι δικάσσαι·
νήπιοι: οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντός,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.
    Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισιν.
ῥηϊδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσσαιο,
ὥστε σέ κ' εἰς ἐνιαυτὸν ἔχειν, καὶ ἀεργὸν ἐόντα·
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,
ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν·
ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ᾗσιν,
ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης.

---

est. Diuisimus, quod in duas easdemque aequales partes diuidendum erat; tu vero non solum dimidiatas opes s. dimidiam earum partem, sed insuper **ἄλλα πολλὰ** iniuste abstulisti.

39. **ἐθέλουσι**, qui putant, dicunt, etc.

40. Al. **οὐδ' ἴσ.**; quantum praestent minores opes iuste partae, maioribus iniuste corrasis.

41. Ignorant, quantum praestet iuste frui tenui et vili victu, epulis ex iniuste conquisita opulentia paratis.

42. Dii enim occultarunt faciliorem victus rationem, quae olim erat.

43—48. Posses, si etiamnum essent illa tempora, nihil agens laute viuere; sed Iuppiter occultauit illam victus rationem, succensens Prometheo. Idcirco miseriam immisit hominibus. v. 43. al. **ἐργάσαιο.** 45. **ὑπὲρ καπνοῦ** ne corrumpatur gubernaculum. 46. fruges. vid. ad 112. 48. cfr. Theogon. v. 535. sqq. Al. **ἀγκυλόμητις.**

Τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.
κρύψε δὲ πῦρ· τὸ μὲν αὖτις ἐῢς παῖς Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποισι Διὸς πάρα μητιόεντος
ἐν κοίλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
„Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
„χαίρεις πῦρ κλέψας, καὶ ἐμὰς φρένας ἠπεροπεύσας,
„σφὶν δ' αὐτοῖς μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισιν.
„τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
„τέρπωνται κατὰ θυμὸν, ἑὸν κακὸν ἀμφαγαπῶντες."
Ὣς ἔφατ', ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε·

Duplex est forma ἀγκυλομήτης, ὁ, et ἀγκυλόμητις, ὁ καὶ ἡ. Vulgo post vv. 44 et 46. punctum ponitur.

50. Vulg. αὖθις et πάϊς. 51. Vulg. Διὸς παρά. 53. Al. τόνδε, al. τόν τε.

56. Vulg. σοί τ' αὐτῷ et in fine v. 55. signum interrogandi. Prometheus v. 51. ἔκλεψ' ἀνθρώποισι, Iuppiter iratus dicit: χαίρεις τὸ πῦρ (τοῖς ἀνθρώποις) κλέψας, ὡς μέγα αὐτοῖς ἀγαθόν, χαίρεις δὲ ὡς ἀληθῶς μέγα πῆμα κλέψας σφίσιν αὐτοῖς, οἳ νῦν εἰσὶ καὶ τοῖς ἔτι γενησομένοις. Seruauit nobis lectionem σφὶν δ' αὐτοῖς μ. π. Apollon. Dyscol. de pronom. p. 125.

57. Alii τοῖσδ'. 59. Magno risu cauillans.

Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάταις δὲ θεαῖς εἰς ὦπα ἐΐσκειν
παρθενικῆς καλὸν εἶδος ἐπήρατον· αὐτὰρ Ἀθήνην
ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσέην Ἀφροδίτην,
καὶ πόθον ἀργαλέον, καὶ γυιοκόρους μελεδῶνας·
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείαν ἤνωγε διάκτορον, Ἀργειφόντην.

Ὣς ἔφαθ', οἱ δ' ἐπίθοντο Διῒ Κρονίωνι ἄνακτι.
αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις

---

63. Al. παρθενικαῖς. Iungas παρθ. καλ. εἶδος, virginis formosum simulacrum.

64. διδασκέμεναι ex Origene V. D. in Misc. Obs. II. 316. et Brunck.; temere. 65. vulgo χρυσῆν.

66. Alii e coniectura γυιοβόρους; non apte, non enim quae deforment, sed quae exornent hic apta sunt. Etiam reliqua sensus ratio v. γυιοκόρους confirmat. Vulgo μελεδῶνας.

68. Vulg. Ἑρμείην ἤν. διάκτορον Ἀργ.

70. Dubiae fidei, idem Theogon. 571.

—— ※ παρθένῳ αἰδοίῃ ἴκελον, Κρονίδεω διὰ βουλάς·
—— ※ ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήν γε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσιν·
※ πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.
ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος, Ἀργειφόντης,
ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
τεῦξε, Διὸς βουλῇσι βαρυκτύπου, ἐν δ' ἄρα φωνὴν
θῆκε θεῶν κήρυξ· ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες Ὀλύμπια δώματ' ἔχοντες [70. Br.]
δῶρον ἐδώρησαν, πῆμ' ἀνδράσιν ἀλφηστῇσιν.

---

71. 72. Iidem in Theog. 572. 573. hic loco minus apto leguntur, quam illic.

76. Ruhnken. Epist. crit. I. p. 49 sq. a tenebrionis manu h. v. ortum esse censet; potest tamen h. v. defendi, et eiectis 71. 72. retineri.

79. *φωνὴν* vocem, vocis modum sonumque; *αὐδὴν* facultatem loquendi, *αἱμ. λογ.* rationem sentiendi respiciunt. 80. Vulg. *κῆρυξ*.

Αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην
δῶρον ἄγοντα θεῶν, ταχὺν ἄγγελον. οὐδ᾽ Ἐπιμηθεὺς
ἐφράσαθ᾽, ὥς οἱ ἔειπε Προμηθεύς, μήποτε δῶρον
δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου, ἀλλ᾽ ἀποπέμπειν
ἐξοπίσω, μή πού τι κακὸν θνητοῖσι γένηται.
Αὐτὰρ ὅ, δεξάμενος, ὅτε δὴ κακὸν εἶχ᾽, ἐνόησεν.

Πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων
νόσφιν ἄτερ τε κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο,
νούσων τ᾽ ἀργαλέων, αἵ τ᾽ ἀνδράσι κῆρας ἔδωκαν.

---

85. Iungas *θεῶν δῶρον ἄγοντα.* Vulg. male *δῶρον ἄγοντα, θεῶν τ. ἄγγ.* inuitis numeris et sensu. Vulg. *οὐδ᾽* neque sensit; non bene. Sensus est: Epimetheus vero non sensit.

88. Alii *μήπου τι.* Brunck. *γένοιτο* e coniectura; male quidem.

89. Vulgo: *αὐτὰρ ὁ δεξ.*; male, nam vertendus est l.: sed ille, vbi iam receperat, tunc (demum) sensit, quum malum iam habebat, et sero erat.

91. Alii: *νόσφιν ἄτερ κακῶν.* Brunck. c. *ἄτερθε.*

92. Alii *γῆρας.* 93. Spurius; huc migrauit ex Odyss. τ'. 360., eo addito, in priore *γῆρας* scriptum est. At vero mortem, non senium afferunt morbi.

—— αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.
ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
ἐσκέδασ'· ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
Ↄ μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀῤῥήκτοισι δόμοισιν
Ↄ ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε [85. Br.]
Ↄ ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο,
≻— αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο.

---

96. Seleucus ap. Proclum, cfr. schol. ad h. l., *πίθοισι* pro *δόμοισι*. 97. Al. *ἔμεινε*.

99. ≻— pugnantia refert; dubiae est fidei, etiam ob alias causas. Omittitur ab Origene et Plutarcho, abest a quatuor cdd., eiiciendum censuerunt Heinsius, Graeuius, Gaisfordus. Eiecit eum Brunckius. Si v. 97 et 98. ab eodem poëta profecti sunt, qui v. 96. fecit; hi tres alienae sunt indolis. Etenim quisnam vel quaenam *ἐπέμβαλεν?* obscurum est; tantis malis effusis ne spes quidem melioris conditionis data; hoc et nimiae fuisset crudelitatis, et quiuis sensisset, id non verum esse. Porro non patet quomodo Spes huc venerit. Dii enim dederunt, quae aut mala essent, aut illud malum suauius redderent, eo consilio, vt Epimetheus illud eo lubentius et certius reciperet. Pandora autem *ἐσκέδασε* mala, solam Spem non *ἐσκέδασεν*, ac si malum esset Spes. Si ab vno poëta hi tres versus originem repetere debent, saltem alieni sunt ab huius narrationis ingenio, fortassis traducti ex alia non satis intellecta, vbi bene se habebant ob diuersum nexum. Sin secus, v. 97—99. eiici debent, tanquam serius ad-

ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα·
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι, [.]
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητιέτα Ζεύς.
Οὕτως οὔ τί πη ἔστι Διὸς νόον ἐξαλέασθαι.

Εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω
εὖ καὶ ἐπισταμένως· σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.

Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι,
χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες.

---

diti, et 96. ita explicari, ac si dixisset poëta: Pandora ἐσκέδασε κακά, quae propulerunt omnia prioris aeui bona, sola Spes non propulsa est; remansit ea apud homines ἐν ἀῤῥ. δόμ., ἄλλα δὲ μυρία λυγρὰ ἀλάληται. Tunc ἄλλος ea ratione dictum haberi debet, qua saepenumero reperitur.

102. Var. lect. ἐφήμεροι, αἱ δ'.

104. Nonnullis veterum criticorum h. v. spurius visus est.

105. Vulgo οὔ τί που ἐστὶ, male.

οἳ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν·
ὥςτε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,
νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδέ τι δειλὸν
γῆρας ἐπῆν, αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων.
θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἳ δ' ἐθελημοὶ
ἥσυχοι ἔργα νέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν. [,]
ἀφνειοὶ μήλοισι, φίλοι μακάρεσσι θεοῖσι.

112. Var. lect. ὡς δὲ θεοὶ ζώεσκον. In hisce, quando in antiquis epicis δὲ post duo vocabula ponitur, quae tam arcte cohaerent, vt vnam notionem exprimant, non puto esse, quod offendat; sic v. 46. ἔργα βοῶν et hic ὥςτε θεοὶ germanice fere sic se habent: Stiermüh', Göttergleich: graece θεοειδῶς δέ, videtur enim ratio esse plane similis ei, ob quam post praepositionem et verbum δὲ poni poterat. 111. οἳ i. e. οὗτοι. Vulg. οἱ.

113. Al. ἄτερ πόνων, Brunck. ἄτερθε. 115. Var. lect. ἐόντες pro v. ἁπάντων. Graeuius et recentiores edit. post h. v. exhibent v. 120.; pessime quidem, vid. ad ill. v. 118. Vulg. οἱ.

119. Fruebantur opibus paratis cum conuiuis; alii aliter explicant, cfr. v. 233.

120. μήλοισι gregibus, non pomis. Hunc v. solus

—— ξυναὶ γὰρ τότε δαῖτες ἔσαν, ξυνοὶ δὲ θόωκοι
—— ἀθανάτοισι θεοῖσι καταθνητοῖς τ' ἀνθρώποις.
—— Αὐτὰρ ἐπεὶ κεν τοῦτο γένος κατὰ γαῖα κάλυψεν. [·]
>÷ τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς,
>÷ ἐσθλοί, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων,
Ɔ οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα
Ɔ ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν,
πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον. [110. Br.]

Δεύτερον αὖτε γένος πολὺ χειρότερόν μετόπισθεν
ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,

Diodor. Sicul. V. 66. exhibet, et hoc quidem loco; cur Graeuius alium locum ei assignarit, non perspicio.

121. 122. Neque hos versus vllus habet codex, sed soli Origenes (contra Cels. IV. pag. 26. Spencer.) et Scholiastes Arati, ad Phaenom. v. 197. Cur hoc loco eos posuerim, dixi in edit. maiore.

123. Var. lect. *ἐπειδή*, vulgo *ἐπεὶ καί*; var. lect. *μοῖρ' ἐκάλυψεν*. Serioris originis hic quoque esse videtur.

124. Var. lect. *οἱ μὲν δ. ἁγνοὶ ἐπιχθόνιοι* [al. *ὑποχθόνιοι*] *καλέονται* [al. *τελέθουσιν*.]

125. Var. lect. *ἐσθλοὶ ἀλεξίκακοι*. *θνητῶν*, var. lect. *μερόπων*. *φύλακες* vt obseruent, non vt conseruent.

126. 127. Alteri loco v. 251 sq. vbi iidem leguntur, aptiores sunt.

χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον, οὔτε νόημα.
ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ', ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ. [115. Br.]
ἀλλ' ὅτ' ἂν ἡβήσειε, καὶ ἥβης μέτρον ἵκοιτο,
παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες
ἀφραδίαις. ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς, [120. Br.]
ᾗ θέμις ἀνθρώποισι κατ' ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε χολούμενος, οὕνεκα τιμὰς
οὐκ ἐδίδουν μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
τοὶ μὲν ἐπιχθόνιοι μάκαρες θνητοὶ καλέονται [125. Br.]

132. ἀλλ' ad ἐναλίγκιον etc. referas. 133. Vulgo ἐτρέφετ', ἀτ. μ. ν., ᾧ ἐ. οἰ.

134. Var. lect. ὅτ' ἄρ' ἡβ. Quotiescunque siue quandocunque euenerat, vt aliquis eorum adoleuisset, etc.

138. Vulg. ἔρδειν. Lat. facere. 140. Vulg. ἔκρυψε, χολούμενος.

143. Var. lect. ὑποχθόνιοι. Hi δαίμονες, hoc enim

δεύτεροι· ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
χάλκειον ποίησ', οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον,
ἐκ μελιᾶν, δεινόν τε καὶ ὄβριμον· οἷσιν Ἄρηος
ἔργ' ἔμελε στονόεντα, καὶ ὕβριες· οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν,
ἄπλαστοι· μεγάλη δὲ βίη, καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
καὶ τοὶ μὲν χείρεσσιν ὕπο σφετέρῃσι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ Ἀΐδαο,

---

signif. *μάκαρες θνητοί, ἐπιχθόνιοι* secundi ordinis, inferiores, *δεύτεροι*, facti sunt; neque vero honore carent.

146. Vulg. *ἀργυρῷ*, et seq. *ὄμβριμον*. 148. non frugibus vescebantur, sed carne.

150. Vulg. *ἄπλατοι*. *χεῖρες* vid. *Schaef.* ad Long. p. 331. Theogon. 150 sqq. Scut. 75 sq. 151. Var. lect. *στιβαροῖς μελέεσσιν*. 152. *ἦν*, vid. Valcken. ad Herodot. V. 12. Ruhnken. ad Hymn. Cerer. v. 499. Wolf. ad Theogon. 321. et Add.

153. Vulg. *ἐργάζοντο*. 154. *χείρεσσιν ὑπὸ σφ.*
cf. xxiv. 110. h.

νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
αὖτις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον,
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι, προτέρῃ γενεῇ, κατ' ἀπείρονα γαῖαν.
καὶ τοὺς μὲν Πόλεμός τε κακὸς καὶ φύλοπις αἰνή,
τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ,
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο,
τοὺς δὲ καὶ ἐν νήεσσιν, ὑπὲρ μέγα λαῖτμα θαλάσσης
ἐς Τροίην ἀγαγών, Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψεν.
τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης,

---

156. Vulg. νώνυμοι. 159. αὖθις.

162. προτέρῃ γενεῇ, aetate, quae nostram, qua vivimus, antecessit.

165. μήλων, propter opes.

[τηλοῦ ἀπ' ἀθανάτων· τοῖσιν Κρόνος ἐμβασίλευε.
καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες [.]
ἐν μακάρων νήσοισι, παρ' Ὠκεανὸν βαθυδίνην, [.]
ὄλβιοι ἥρωες· τοῖσιν μελιηδέα καρπὸν
τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.

Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι.
νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.
ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,

---

171. A veteribus *ἠθετημένοι*, item v. 172. Si reuera tanquam spurii eiici debent, ita iungi debent reliqua, vti distinctione facta indicaui, et verba *ὄλβιοι ἥρωες* explicari: heroës [ii sunt] felices. 174. Vulgo *τοῖσι*.

175. Vulg. ante Graev. *τρὶς τοῦ ἔτους*.

179 sq. Non solum nunc ita agunt, ita de iis agitur; sed etiam in posterum ita agent; haec erit eorum magis magisque in peius ruentium conditio et sors.

εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
οὐδὲ πατὴρ παίδεσσιν ὁμοίϊος, οὐδέ τι παῖδες,
οὐδὲ ξεῖνος ξεινοδόκῳ καὶ ἑταῖρος ἑταίρῳ,
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τοπάρος περ.
αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας·
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντες ἐπέσσιν,
σχέτλιοι, οὔτε θεῶν ὄπιν εἰδότες· οὐδέ κεν οἵ γε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν·
χειροδίκαι, ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει·
οὐδέ τις εὐόρκου χάρις ἔσσεται οὔτε δικαίου,
οὔτ' ἀγαθοῦ· μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν

---

183. Haec quoque hominum aetas finem habebit; is erit, quando infantes senili forma nascentur. 184. ὁμοίϊος tum corpore tum praecipue sentiendi ratione.

186. Vulg. τὸ πάρος π. 187. Iungas αἶψα γηράσκοντας cito senescentes.

188. Vulg. βάζοντ' ἐπέεσσιν. Lectio orta aut e male intellecto compendio litterarum, syllabam εε in fine vocabuli positam denotante, aut e criticorum studio dualis numeri rationem hoc quoque loco ad exempla Alexandrinorum poëtarum constituendi.

189. Vulg. οὐδὲ. 192. Vulgo οὔτε. 193. Vulg. οὐδὲ; neque qui iurisiurandi fidem colit, neque qui iustus

ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσὶ, καὶ αἰδὼς [175. Br.]
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα,
μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται·
ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν
δυσκέλαδος κακόχαρτος ὁμαρτήσει στυγερώπης.
Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης, [180. Br.]
λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν,
ἀθανάτων μετὰ φῦλον ἴτην, προλιπόντ' ἀνθρώπους,
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
θνητοῖς ἀνθρώποισι· κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.

Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω φρονέουσι καὶ αὐτοῖς. [185. Br.]

---

est, iis gratus erit, neque etiam omnino qui bonus est. ὕβριν, substantiuum loco adiectiui.

196. ἐπὶ insuper, ὅρκος in tali re per se est ἐπίορκος.

200. καλυψαμένω, 201. προλιπόντε struendi ratio apud epicos frequens, apud Atticos vsitatissima; praecipue in duali numero. Illo tempore, tunc vbi res eo peruenerit, illae redeunt i. e. certo redibunt; mala autem manebunt.

204. Var. lect. νοέουσι. Caue vertas: qui soli sibi sapiunt. Cohaerent autem haec cum antecedentibus et sequentibus hoc fere modo, vt ἕτερος ille λόγος v. 106.,

Ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον,
ὕψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς·
ἣ δ' ἐλεὸν γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσιν
μύρετο· τὴν δ' ὅγ' ἐπικρατέως πρὸς μῦθον ἔειπεν·
‘Δαιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων,

---

quo enarrare volebat, quomodo sese exceperint variae hominum aetates, et declarare, qua ratione sensim sensimque tempora in peius deflexerint, h. l. finem attigerit. Pergit: Nunc fabellam narrabo iudicibus, qui et ipsi quomodo res se habeat, quidue sibi velit, perspiciunt et intelligunt (et tibi, qui non perspicis). Tu, Persa, qui occasionem eius facti dedisti, caue tibi! Vos autem iudices, qui ita egistis, iusti sitis, nam etc. v. 250—271. Tu, Persa, attendas! quod licet brutis animalibus, non tibi licet neque omnino hominibus, v. 276—282. Ego te ad bona conuertam, nam tu per te non sapis, v. 286 sqq. Labora et iustus sis atque probus, v. 299 sqq.; sin vis opulentus fieri, aut agro colendo, v. 385 sqq., aut navigando et mercaturam faciendo, v. 620 sqq., id fieri potest.

205. Vulg. *ἴρηξ. ποικιλόγηρυν* Ruhnken. coni., inde Brunck. recepit. *ποικίλον* Graecis est, quodcunque plures traxit colores, etsi non sit varium siue variegatum.

207. Vulg. *ἦδ'*, al. *ἡ δ'*. Vulg. *ἡ δ' ἐλεὸν, γ. π. ἀ. ὀ.*, sed delenda est distinctio, nam *ἀμφ' ὀνύχεσσι* querebatur *πεπαρμένη*.

208. Vulg. *τήνδ'*. 209. Vulg. *λέλακας*.

,τῇ δ' εἶς, ᾗ σ' ἂν ἐγώ περ ἄγω, καὶ ἀοιδὸν ἐοῦσαν·
,δεῖπνον δ', αἴκ' ἐθέλω, ποιήσομαι, ἠὲ μεθήσω.'
>÷ 'ἄφρων δ', ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν· 210[194. Br.]
>÷ νίκης τε στέρεται, πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.' [195. Br.]
Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ, τανυσίπτερος ὄρνις. [193. Br.]

Ὦ Πέρση, σὺ δ' ἄϊε δίκης, μηδ' ὕβριν ὄφελλε.
ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς,
ἐγκύρσας ἄτῃσιν· ὁδὸς δ' ἑτέρηφι παρελθεῖν

---

210. Vulg. τῇδ'. 212. Var. lect. ὅς κ' ἐθέλοι. Demens est, quicunque voluerit. Hunc et sq. versum deleuit Aristarchus. Graeuius ita disposuit: ὣς ἔφατ' etc. Ἄφρων δ' ὅς etc. Νίκης τε etc., Brunckius, eum secutus, sic edidit.

215. Omnes ἄκουε. Etym. Magn. p. 43. ἀΐω] Ἡσίοδος· σὺ δ' ἄϊε δίκης ἀντὶ τοῦ ἄκουε. Aeschyl. Choëph. 827. ἐπαΐσας ex emend., ἀΐων fragm. ap. Schol. Hephaest. p. 172. Gaisf. Vulgata a grammaticis profecta est.

216. ὕβρις ne in locupletem quidem cadit, omnium autem minime in egenum. Gerhardus coni. οὐδέ μιν.

218. ἑτέρηφι adverbium; male alii ἑτέρηφι, nominatiuum esse volentes.

κρείσσων ἐς τὰ δίκαια· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει,
ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.
αὐτίκα γὰρ τρέχει Ὅρκος ἅμα σκολιῇσι δίκῃσιν·
τῆς δὲ Δίκης ῥόθος ἑλκομένης, ᾗ κ' ἄνδρες ἄγωσιν
δωροφάγοι, σκολιαῖς δὲ δίκαις κρίνωσι θέμιστας·
ἡ δ' ἕπεται κλαίουσα πόλιν καὶ ἤθεα λαῶν,
ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα,
οἵ τέ μιν ἐξελάσωσι, καὶ οὐκ ἰθεῖαν ἔνειμαν.
Οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν

---

221. Ὅρκος cfr. v. 804. Theogon. v. 231. Numen, quod ab iniustis et periuris poenam repetit.

222. ῥόθος Interprr. explicant: impetus, tractus violentus, strepitus, gemitus, aspera semita. Plutarchus: via, per quam Iustitia trahitur, aspera est. Vertas: Iustitiae itio ac via est, quocunque eam inflexerint mali iudices; i. e. iustitia potest quidem inflecti ab improbis, quorsum lubet, atvero non sine magno detrimento, eodemque publico, hoc fit.

224. Vulg. ἤδ. al. ἡ δ'. Vulg. πόλιν τε καὶ ἤθ. τε ob pedem IV. eieci ad optimorum cdd. fidem, et rationes metricas, cfr. Hermann. de metris p. 67., ad Orph. p. 728., Gerhard. Lect. Apollon. p. 159 sq.

226. Al. ἐξελάουσι, var. lect. ἐξελάσουσι. Coniunctiuus sit, necesse est: οἵτε οὐκ ἰθεῖαν αὐτὴν νείμαντες ἐξελάσωσιν.

ἰθείας, καὶ μή τι παρεκβαίνουσι δικαίου·
τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ,
εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος· οὐδέ ποτ' αὐτοῖς
ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς,
οὐδέ ποτ' ἰθυδίκαισι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ,
οὐδ' ἄτη· θαλίης δὲ μεμηλότα ἔργα νέμονται.
Τοῖσι φέρει μὲν γαῖα πολὺν βίον· οὔρεσι δὲ δρῦς
ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας·
εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασιν·
τίκτουσιν δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσιν·
θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές· οὐδ' ἐπὶ νηῶν
νίσσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.
Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.

---

233. Al. θαλίης, i. e. δαιτός, ἔργα. Opibus, quas sibi compararunt, frugibus et agrorum prouentu laetissime epulantes fruuntur, ἐν θαλίαις καὶ εὐωχίαις νέμονται, ὧν ἐπιμέλειαν ἔσχον ἔργων. 235. Al. ἄκρη — μέσση.

239. Vulg. νείσσονται. Patria terra iis optima quaeque fert. 241. Vulg. τοῖσδε.

πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅς τις ἀλιτραίνῃ, καὶ ἀτάσθαλα μηχανάαται.
τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων, [225. Br.]
λιμὸν ὁμοῦ καὶ λοιμὸν, ἀποφθινύθουσι δὲ λαοί. [,]
οὐδὲ γυναῖκες τίκτουσιν, μινύθουσι δὲ οἶκοι,
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου. ἄλλοτε δ' αὖτε
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος·
ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν. [230. Br.]

Ὦ βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
τήνδε δίκην· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες

242. Al. ἐπαυρεῖ et 243. cdd. et edd. ἀλιτραίνει; γνωμικῶς et omnino dictum, εἴτις ἀλ. Sed altera lectio, etiam antiquorum testimoniis confirmata, dicit: Saepe ob unius ciuis scelus tota ciuitas damnum cepit, ἐὰν ἐκεῖνος ἀλιτραίνῃ. Var. lect. ὅς τι. 246. Brunck. e Plutarch. ἐπήλασε.

244. 245. Omisit Aeschines p. 526. Reisk.; eiecit Plutarchus, teste Proclo.

246. Graev. et al. τόγε, male. 249. Vulgo ἀποτίννυται.

250. Persae dixerat: Sis minus insolens et iniustus atque felix eris, vti illi qui etc. Pergit: et vos, iudices eiusdem iustitiae, quam commendo, memores sitis, τήνδε δίκην καταφράζεσθε, nam poena prope adest.

ἀθάνατοι φράζονται, ὅσοι σκολιῇσι δίκῃσιν
ἀλλήλους τρίβουσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες.
τρὶς γὰρ μύριοί εἰσιν ἐπὶ χθονὶ πουλυβοτείρῃ [235. Br.]
ἀθάνατοι Ζηνὸς φύλακες θνητῶν ἀνθρώπων,
✳ οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
✳ ἠέρα ἑσσάμενοι, πάντῃ φοιτῶντες ἐπ' αἶαν.
ἣ δέ τε παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαυῖα,
κυδρή τ' αἰδοίη τε θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν· [240. Br.]
καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ, σκολιῶς ὀνοτάζων,
αὐτίκα πὰρ Διῒ πατρὶ καθεζομένη Κρονίωνι,
γηρύετ' ἀνθρώπων ἄδικον νόον, ὄφρ' ἀποτίσῃ
>÷ δῆμος ἀτασθαλίας βασιλέων, οἳ λυγρὰ νοεῦντες
ἄλλῃ παρκλίνωσι δίκας, σκολιῶς ἐνέποντες. [245. Br.]

---

252. Vulg. λεύσσουσιν, var. lect. λεύσσουσιν. Antiquiss. cdd. φράζονται. 254. Brunck., al. μυρίοι, male.

255. Var. lect. δαίμονες ἀθάνατοι. Var. lect. ἀθ. Ζ. πρόπολοι. Var. lect. μερόπων ἀνθ. 256 sq. vide ad v. 124 sq.

258. ἢ i. e. αὕτη. Vulgo ἡ δέ τε. Post pronomen interdum ipsum nomen insuper additur.

263. Vulg. βασιλήων. 264. Vulg. παρκλίνουσι, sensus est: ἐὰν αὐτοὶ etc.

>÷ ταῦτα φυλασσόμενοι, βασιλεῖς, ἰθύνετε μύθους,
δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε
>÷ οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων, [248. Br.]
ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
— πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας
— καί νυ τάδ᾽, αἴκ᾽ ἐθέλῃσ᾽, ἐπιδέρκεται, οὐδέ ἑ λήθει
— οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.
— νῦν δὴ ἐγὼ μήτ᾽ αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
— εἴην, μήτ᾽ ἐμὸς υἱός· ἐπεὶ κακόν, ἄνδρα δίκαιον
— ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.
— ἀλλὰ τάγ᾽ οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.

---

265. Vulgo *βασιλῆες*, ut 263., in omnib. edd. Pro v. *μύθους* var. lect. *δίκας*.

266. Vulgo *ἐπιπάγχυ*, male. 267. Var. lect. *οἷ θ᾽ αὐτῷ* et *οἷ τ᾽ αὐτῷ*.

vv. 269—275. spurios habebat Plutarchus, Brunck. eiecit. 270. *τάδε* iniusta vestra agendi ratio. 271. quomodo se habeat, quam dico (*τήνδε*), iustitia. 272. Vulg. *Νῦν δέ*. 274. Quoniam miserum est, iustum esse, si improbus causam vincet.

275. Var. lect. *Δία μητιόεντα*. *τάγε*, fore, vt iniusti vincant.

Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσιν,
καί νυ δίκης ἐπάκουε, βίης δ' ἐπιλήθεο πάμπαν.
τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων·
ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς,
ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
γίγνεται. εἰ γάρ τίς κ' ἐθέλῃ τὰ δίκαι' ἀγορεύειν
γιγνώσκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα Ζεύς·
ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσσας
ψεύσεται, ἐν δὲ δίκην βλάψας, νήκεστον ἀάσθη·
τοῦ δέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται·
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

---

276. Vid. ad v. 204. 279. Ante Graev. πετεεινοῖς. 280. Var. lect. ἐσθέμεν. Var. lect. ἐν αὐτοῖς; μετ' αὐτοῖς, μετ' αὐτῶν, de Iustitia neque vero de iustitia cogitantes. 282. Vulg. γίνεται. Var. lect. ἐθέλοι, ἐθέλει. 283. Vulg. γινώσκων.

285. Vulg. ἐν δὲ, cfr. Hermann. emend. rat. gr. gr. p. 118. Schaef. coni. ἀασθῇ. 286. Vulg. τοῦδε.

Σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω, μέγα νήπιε Πέρση.
τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηϊδίως· λείη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
καὶ τρηχὺς τοπρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
ῥηϊδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.

Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσῃ·
φρασσάμενος, τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.

---

288. Vid. ad v. 204. 289. Vulg. ἱλαδὸν ἐστιν.

290. Duplex lectio. Altera ὀλίγη μὲν ὁδὸς, recentior. ναίει] ἡ κακότης. 292. Var. lect. ἐς αὐτήν.

293. Vulg. τὸ πρῶτον. Var. lect. ἵκηαι, ad vulgatam referas v. ἡ ὁδός. 294. Vulg. δ' ἤπειτα. Brunck. δὴ 'πειτα.

295. Lect. var. et ante Graev. vulgata ὃς αὐτῷ. αὐτὸς ipse, solus per se, sua sponte. Vulg. νοήσει.

296. Admodum suspectus; a plerisque veterum scriptorum hos vv. laudantium omissus. 297. Schaef. coni. καὶ κεῖνος.

ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὃ δ' αὖτ' ἀχρήϊος ἀνήρ.

Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
ἐργάζευ, Πέρση, Δῖον γένος, ὄφρα σε λιμὸς
ἐχθαίρῃ, φιλέῃ δέ σ' ἐΰστέφανος Δημήτηρ
αἰδοίη, βιότου δὲ τεὴν πίμπλησι καλιήν.
Λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργήν,
οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ

298. Lectio var. et ante Graev. vulg. μήθ' αὐτῷ.
299. Vulg. ὅδ', al. ὁ δ'; ὃ i. e. οὗτος. Si quis neque ipse, per se, nemine monente, sapit, neque ab alio monitus sapere coeperit; is est plane inutilis.

301. Vulg. δῖον. Lanz., Gaisf., Schaef. emend. Δῖον. Pater Hesiodi Δῖος; hinc, vti a v. Χίος, Χῖος, Δῖος adiectiua forma.

302. Vulg. et var. lect. φιλέῃ δὲ ἐΰστ.

303. Aut πιμπλῇσι scribendum est, et cum ὄφρα coniungendum, aut vulg. lect. quam omnes cdd. et edd. ant. tuentur, retinenda est et explicanda: vt te amet Ceres; ea vero implet horrea.

306. κοθούροις aculeo carentibus. Vulg. ἴκελος ὁρμήν, ὀργὴν intelligas de vniuersa sentiendi ratione.

ἔσθοντες· σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.
'Εξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε·
καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν [.]
ἔσσεαι ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργούς. 310 [285. Br.]
"Εργον δ', οὐδὲν ὄνειδος· ἀεργίη δέ τ' ὄνειδος.
εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ,
δαίμονι δ' ἶσος ἔησθα· τῷ ἐργάζεσθαι ἄμεινον·
εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν [290. Br.]
εἰς ἔργον τρέψας, μελετᾷς βίου, ὥς σε κελεύω.
αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,

308. *μέτρια*, quae conueniunt, quae in te cadunt.
312. Admodum suspectus. 313. Vulgo: *ἔργον δ' οὐδὲν ὄν.*,. Var. lect. *ἀεργείη*.
316. Vulg. *οἷος ἔησθα· τὸ ἔργ.* Dedi emendatiorem Schaeferi lectionem, nam e vulgata nihil bonae frugis elicio. Vertas: Deo similis es, si ita agis; quapropter praestat operari. 319. 320. Alii hh. vv. eiiciunt, priorem tanquam ex Od. *ρ'*. 347. conflatum, posteriorem tanquam ex Iliad. *ω*. 46. huc traiectum. Non assentior; 319. in Odyssea non idem, 320., Homero demtum, Hesiodo vindicandum censeo. Brunck. vtrumque omisit. v. 319. *ἀγαθὴ* loco aduerbii positum sumas, ne cum

αἰδώς, ἥτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησιν·
Αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ·
χρήματα δ' οὐχ ἁρπακτά· θεόσδοτα πολλὸν ἀμείνω.
εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
ἢ ὅγ' ἀπὸ γλώσσης ληΐσσεται, (οἷά τε πολλὰ
γίγνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ)·
ῥεῖα δέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκοι
ἀνέρι τῷ· παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
Ἶσον δ', ὅς θ' ἱκέτην, ὅς τε ξεῖνον κακὸν ἔρξῃ,
ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνῃ,

---

aliis falso interpreteris. 321. Vulg. *πρὸς ἀνολβίην — πρὸς ὄλβον.* Quam dedi lectionem, eam habent optimi cdd. et editt. antiq. Duplex autem lectio erat et diuersum iudicium de hoc quoque versu apud antiquos. Vertas: Pudor apud egestatem [est], i. e. egestati comitatur, bono autem animo est, qui diues.

326. Vulg. *αἰδῶ δέ τ'*, var. lect. *αἰδὼς δέ τ'.* 327. Vulg. *ῥεῖά τε;* sed tunc abest apodosis. Huius causa etiam post v. *κατοπάζῃ* distinctionem posui.

329—385. Accuratius persequitur, quid sit iustum et probum, quid contra improbum. Docet, quid P. facere debeat, vt iuste, probe et prudenter viuat, quidue fugere.

329. Vulg. *Ἶσον δ' ὅσθ' ἱ., ὅστε ξ. κ. ἔρξει* et 330. *βαίνει.* Schaeferi emendationem sequutus sum. *ὅς τ'* est:

κρυπταδίης εὐνῆς ἀλόχου παρακαίρια ῥέζων,
ὅς τέ τευ, ἀφραδίης, ἀλιταίνεται ὀρφανὰ τέκνα,
ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
νεικείῃ, χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν·
τῷ δ' ἤτοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.
Ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμόν·
κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν,
ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν·
ἄλλοτε δὲ σπονδῇσι θύεσσί τε ἱλάσκεσθαι,
ἠμὲν ὅτ' εὐνάζῃ, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ,
ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν·

ἐάν τις. 331. Vulg. κρυπταδίης εὐνῆς ἀλόχου, (propter, intellecto ἕνεκα) παρακ. ῥέζων. Mutaui distinguendi rationem. Iungas: ὅς τε κρυπταδίης εὐνῆς παρακαίρια ῥέζων κασ. ἑ. ἀνὰ δ. βαίνῃ.

332. Var. lect. ἀλιτραίνεται. Est autem correptior subiunctiui forma. Iungas: ὅς τε ὀρφανά τευ (τινος) τέκνα ἀλιταίνηται. 334. Var. lect. νεικείει. 335. Vulg. τῷ δή τοι. Caeterum, quum h. v. apodosis incipiat, male vulgo in fin. antec. v. punctum ponitur.

338. Vulg. ἔρδειν. Vulg. ἱερ'. 340. ἄλλοτε δὲ emend. Schaef., vulg. ἄλλοτε δή —. Vulg. σπονδῇς θυέεσσι τε.

[ὄφρ᾽ ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.]
Τὸν φιλέοντ᾽ ἐπὶ δαῖτα καλεῖν, τὸν δ᾽ ἐχθρὸν ἐᾶσαι· [315. Br.]
τὸν δὲ μάλιστα καλεῖν, ὅς τις σέθεν ἐγγύθι ναίει.
⟩÷ [εἴ γάρ τοι καὶ χρῆμ᾽ ἐγκώμιον ἄλλο γένηται,
γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί.]
πῆμα κακὸς γείτων, ὅσσον τ᾽ ἀγαθὸς μέγ᾽ ὄνειαρ·
ἔμμορέ τοι τιμῆς, ὅς τ᾽ ἔμμορε γείτονος ἐσθλοῦ· [320. Br.]
οὐδ᾽ ἂν βοῦς ἀπόλοιτ᾽, εἰ μὴ γείτων κακὸς εἴη.
Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ᾽ ἀποδοῦναι
αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον, αἴ κε δύνηαι,
ὡς ἂν χρηΐζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς.
[μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ᾽ ἄτῃσιν.] [325. Br.]
⟩÷ —— Τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προσιόντι προσεῖναι·

---

346. Duplex lectio, *ἐγκώμιον* antiquior, recentior *ἐγχώριον*. Brunck. e Steph. Byz. *γένοιτο*, non bene. ‘Si quid secus tibi acciderit, in eo, quo versaris, vico.’

355 — 357. ⟩÷ — Nam hos tres vv. Plutarchus eiiciendos censuit; quem sequutus Brunckius eos iusto celerius induxit. 355. *προσεῖναι*, vsitatior forma *προσιέναι*.

>÷ —— καὶ δόμεν, ὅς κεν δῷ, καὶ μὴ δόμεν, ὅς κεν μὴ δῷ.
>÷ —— δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔ τις ἔδωκεν.
δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.
ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅγε κᾶν μέγα δώῃ·
χαίρει τῷ δώρῳ, καὶ τέρπεται ὃν κατὰ θυμόν.
ὃς δέ κεν αὐτὸς ἕληται, ἀναιδείηφι πιθήσας,
καί τε σμικρὸν ἐόν, τό γ' ἐπάχνωσεν φίλον ἦτορ. 360 [330. Br.]
εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.
Ὃς δ' ἐπ' ἐόντι φέρει, ὃ δ' ἀλύξεται αἴθοπα λιμόν,
οὐδὲ τό γ' εἰν οἴκῳ κατακείμενον ἀνέρα κήδει·

---

358. *ἀγαθή, τῷ διδόντι;* quominus *τῷ λαμβάνοντι ἀγαθὴν* sumas, prohibent sequentia et omnis omnino nexus.

359. Var. lect. *δοίη*. Locus ita se habet: *ὃς κ' ἐθέλων [δώῃ], κᾶν μέγα δώῃ, χαίρει· ὃς δέ κεν ἕληται, οὗτος ἐλύπησεν ἐκεῖνον, ἀφ' οὗ ἔλαβε, καίπερ μικρόν τι καὶ ὀλίγον λαβών.* 362. Vulgo *φίλον κῆρ*. 363. Ante Graeuium *ἐπὶ σμικρὸν καταθ.*

365. *ἐόντι* opibus paratis. Vulg. *ὅδ'*.

οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφι. [335. Br.]
ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι· πῆμα δὲ θυμῷ
χρηΐζειν ἀπεόντος· ἅ σε φράζεσθαι ἄνωγα.
Ἀρχομένου δὲ πίθου, καὶ λήγοντος κορέσασθαι·
μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐνὶ πυθμένι φειδώ.
[Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω, [340. Br.]
καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.
πίστεις δ' ἄρα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.]
Μὴ δὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω,

---

367. Explico h. v. deleto puncto in antec. v. extr.: melius est domi repositas esse opes; quod adhuc foris est, damno et periculis adhuc est obnoxium, ideoque incertum.

370. Simpliciter explices: De summo, quod minus generosum est, fusius haurias, item de imo; optimo autem parcius vtere.

371. Alii δεινή; duplex iam olim fuit lectio. Sensus autem est: in imo sera est parsimonia.

372. 73. 74. A nonnullis veterum, narrante Proclo, ἠθετημένοι. Desunt ea de causa in multis codicibus, iisque praestantibus. 372. Amicitiâ ad commodum tuum ne abutaris. 373. γελάσας, iocando eius rei seueritatem temperans. 374. Offendit ἄρα. δή ῥα Reiz. coni. δ' ἄρ τοι Guiet. coni. 375. Vulg. μηδὲ. πυγοστόλος, quae

αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν.
>÷ ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ᾽ ὅγε φηλήτησιν. [345. Br.]
>÷ Μουνογενὴς δὲ πάϊς εἴη πατρώϊον οἶκον
>÷ φερβέμεν· ὣς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισιν. [348. Br.]
>÷ γηραιὸς δὲ θάνοις ἕτερον παῖδ᾽ ἐγκαταλείπων. [347. Br.]
—— ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον.
—— πλείων μὲν πλεόνων μελέτη, μείζων δ᾽ ἐπιθήκη. 380 [350. Br.]

Σοὶ δ᾽ εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσιν

---

meretricio ornatu, vestitu, habitu, moribus allicit. 377. γυναικὶ, tali, si legis φιλήτῃσι, latronibus, grassatoribus; sed γυναικὶ i. e. omnino γυναιξί, si legis φηλήτῃσι, fraudatoribus. Duplex enim lectio antiquorum testimoniis et codd. auctoritate confirmata est.

378. Editt. omn. σώζοι pro v. εἴη. Item in h. v. duplex olim lectio. Heinsius probante Graeuio ita hh. vv. disposuit: μουνογενὴς δὲ etc. γηραιὸς δὲ etc. φερβέμεν etc., quos sequutus sic edidit Brunckius. Olim sine dubio legebatur: μουνογενὴς δὲ π. εἴη πατρ. οἶκ. φερβέμεν, ὣς γὰρ πλ. ἀέξ. ἐν μεγ. Σοὶ δ᾽ εἰ πλούτου etc. ὧδ᾽ ἔρδειν. Reliqua a serioribus inserta sunt; primum v. γηραιὸς δὲ etc., postea reliqui. σώζοι ortum est e glossa, verba εἴη φερβέμεν explicante.

382. Plures plura comparant.

383. Vid. ad v. 204. ᾗσιν, sic optimi edd., vulgo σῇσι.

⸖ ὧδ' ἔρδειν· καὶ ἔργον ἐπ' ἔργῳ ἐργάζεσθαι.
Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων,
ἄρχεσθ' ἀμήτου· ἀρότοιο δὲ, δυσομενάων.
αἳ δ' ἤτοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα [355. Br.]
κεκρύφαται· αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται, ταπρῶτα χαρασσομένοιο σιδήρου.
Οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
⸖ ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα
πόντου κυμαίνοντος ἀπόπροθι, πίονα χῶρον, [360. Br.]
⸖ ναίουσιν. Γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,

---

384. Omnes edit. et nonnulli cdd. ἔργον δέ τ' ἐπ' ἔ. i. e. hoc fere modo agas. Dedi antiquiorum cdd. lectionem, etiam sensui aptiorem.

386. Vulg. ἀμητοῦ, sed videsis me ad Nicephor. Blemmid. p. 40—42. Vulg. male δυσσομενάων.

387. Vulgo δή τοι. sed vid. Hermann. ad Hymn. Hom. p. 205. Occasus heliacus, c. in. April.

389. Vulg. τὰ πρῶτα.

391. Var. lect. ναιετάωσ'; comma post v. βησσήεντα delevi, posui vero post v. χῶρον v. 390. 391. Var. lect. ναίωσιν s. ναίωσι. Vulgo aliter h. l. explicatur, equidem ita eum interpretor: Ita agere debent, qui in locis planis, atque qui prope littus, in locis siccis, atque qui in montium conuallibus, in locis humidis, agrum colunt. Πίονα χῶρον, appositio.

γυμνὸν δ' ἀμάειν, εἴ χ' ὥρια πάντ' ἐθέλῃσθα
ἔργα κομίζεσθαι Δημήτερος· ὥς τοι ἕκαστα
ὥρι' ἀέξηται, μή πως τὰ μέταζε χατίζων
πτώσσῃς ἀλλοτρίους οἴκους, καὶ μηδὲν ἀνύσσῃς· [365. Br.]
ὡς καὶ νῦν ἐπ' ἔμ' ἦλθες· ἐγὼ δέ τοι οὐκ ἐπιδώσω,
οὐδ' ἐπιμετρήσω. 'Εργάζευ, νήπιε Πέρσῃ,
ἔργα, τά τ' ἀνθρώποισι θεοὶ διετεκμήραντο,
μή ποτε σὺν παίδεσσι γυναικί τε θυμὸν ἀχεύων
ζητεύῃς βίοτον κατὰ γείτονας, οἳ δ' ἀμελῶσιν. 400 [370. Br.]
δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι· ἢν δ' ἔτι λυπῇς,
χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις.
ἀχρεῖος δ' ἔσται ἐπέων νομός. 'Αλλά σ' ἄνωγα
φράζεσθαι χρειῶν τε λύσιν, λιμοῦ τ' ἀλεωρήν.

---

394. Var. lect. ἀμᾶσθαι, sed vsus hos numeros ἀμάειν, contra ἀμᾶσθαι comprobat.

396. Cdd. et edd. omnes μεταξύ. Stephan. Grammat. ad Dionys. Thrac. Grammat. in Anecd. gr. Bekkeri T. II. p. 945. l. 6. sq. σεσημείωται τὸ μέταζε χρονικὸν ὄν. 'Ησίοδος· μήπως τὰ μέταζε χατίζων.

401. Deleui comma post v. ἀχεύων. 402. Vulg. οἱ δ'. 405. νομός, largus prouentus, veluti herbarum.

Οἶκον μὲν πρώτιστα, γυναῖκά τε, βοῦν τ' ἀροτῆρα,
≻— [(κτητὴν, οὐ γαμετήν, ἥ τις καὶ βουσὶν ἕποιτο,)] cf. v. 443.
χρήματα δ' εἰν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι·
≻÷ μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὃ δ' ἀρνῆται, σὺ δὲ τητᾷ,
≻÷ ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τοι ἔργον.
Μὴ δ' ἀναβάλλεσθαι ἔς τ' αὔριον, ἔς τ' ἔννηφιν·
οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιήν,
οὐδ' ἀναβαλλόμενος· μελέτη δέ τοι ἔργον ὀφέλλει.
αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.
Ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς

---

407. *βοῦν* rem omnem et notionem, non vnum modo ac singulum bouem denotat; nam vid. v. 438.

408. Adest ≻—, nam traiecta sunt verba, quae ad *γυναῖκα* debent referri; seruam autem neque vero vxorem intelligit.

410. Var. lect. *αἰτεῖς*. Al. *ὅ δ'*. Var. lect. *ἀρνεῖται*.

411. Var. lect. *μινύθει*.

412. Vulg. *μηδ' — ἔννηφιν*.

418. Corpus humanum facilius mouetur, quum desinant nimii calores.

πολλὸν ἐλαφρότερος, (δὴ γὰρ τότε σείριος ἀστὴρ
βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ,)
τῆμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
ὕλη, φύλλα δ' ἔραζε χέει, πτόρθοιό τε λήγει·
τῆμος ἄρ' ὑλοτομεῖν, μεμνημένος, ὥριον ἔργον.
"Ολμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
ἄξονα δ' ἑπταπόδην· μάλα γάρ νύ τοι ἄρμενος οὕτως·
εἰ δέ κεν ὀκταπόδην, ἀπὸ καὶ σφῦράν κε τάμοιο.
τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἁμάξῃ.

---

419. σείριος ἀ. Sol. 422. Vulgo ἦμος ἀδ. Videsis me ad Niceph. Blemm. p. 37 sq. 'Quando Sol. etc.; tunc arbores etc.; tunc *igitur* caedas.'

424. v. μεμνημένος seorsim legas; 'bene memor praecepti nostri.' Var. lect. ὥρια ἔργα.

425. Vulg. ὄλμον. 426. Vulg. ἄξονά θ' ἑ., et ἄρμενον. Var. lect. οὕτω.

427. Omnes σφύραν, male; vid. Regul. prosod. ad Hermann. libr. de emend. rat. gr. gr. p. 437. nro. 73.

428. Omnes ἄψιν, sed ea forma non magis potest in Hesiodo admitti, quam vulgaris ἀμάξῃ.

πόλλ' ἐπὶ καμπύλα κᾶλα. φέρειν δὲ γύην, ὅτ' ἂν εὕρῃς,
εἰς οἶκον, κατ' ὄρος διζήμενος, ἢ κατ' ἄρουραν,
πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν,
εὖτ' ἂν Ἀθηναίης δμωὸς ἐν ἐλύματι πήξας 430 [400. Br.]
γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆϊ.
Δοιὰ δὲ θέσθαι ἄροτρα, πονησάμενος κατὰ οἶκον,
αὐτόγυον καὶ πηκτόν· ἐπεὶ πολὺ λώϊον οὕτως.
εἴ χ' ἕτερόν γ' ἄξαις, ἕτερόν κ' ἐπὶ βουσὶ βάλοιο.
Δάφνης δ' ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες, [405. Br.]
δρυὸς ἔλυμα, γύης πρίνου· βόε δ' ἐνναετήρω
ἄρσενε κεκτῆσθαι, (τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν)
ἥβης μέτρον ἔχοντε· τὼ ἐργάζεσθαι ἀρίστω.

---

431. Var. lect. *πρίννινον*. *ὃς* = *οὗτος*. 432. *Ἀθηναίης δμ.*, faber. 435. Var. lect. *οὕτω*.

436. Vulg. *ἕτερόν γ' ἐπὶ β.* 437. Vulg. post v. *ἱστοβ.* punctum ponitur.

438. Vulg. *πρίνου γύην*, var. lect. *πρίνου δὲ* al. *τε γύην*, al. *πρίνου γύης*. Dedi in toto hoc loco certissimam Schaeferi emendationem.

οὐκ ἂν τώ γ' ἐρίσαντες ἐν αὔλακι καμμὲν ἄροτρον
ἄξειαν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.

Τοῖς δ' ἅμα τεσσαρακονταετὴς αἰζηὸς ἕποιτο
ἄρτον δειπνήσας τετράτρυφον, ὀκτάβλωμον,
ὅς κ' ἔργου μελετῶν ἰθεῖαν αὔλακ' ἐλαύνοι,
μηκέτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
θυμὸν ἔχων· τοῦ δ' οὔ τι νεώτερος ἄλλος ἀμείνων
σπέρματα δάσσασθαι, καὶ ἐπισπορίην ἀλέασθαι.
κουρότερος γὰρ ἀνὴρ μεθ' ὁμήλικας ἐπτοίηται. —
Φράζεσθαι δ', εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης,
ἥ τ' ἀρότοιό τε σῆμα φέρει, καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ· κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω·

---

441. τὸ μὲν ἄροτρον κατάξειαν, τὸ δὲ ἔ. etc.

444. ὀκτάβλωμον. Non de copia cibi, sed de sedulitate et celeritate serui. 445. Vulg. male ἰθεῖαν. 447. Vulg. τοῦδ'.

448. Al. δάσασθαι. ἐπισπορίην, densam sationem, qua grana non aequali modo seruntur.

450. Vulg. φωνὴν γεράνου. Var. lect. ἐπακούσαις. 453. Al. ὀμβρηνοῦ.

δὴ τότε χορτάζειν ἕλικας βόας ἔνδον ἐόντας.
ῥηΐδιον γὰρ ἔπος εἰπεῖν. 'Βόε δὸς καὶ ἄμαξαν.'
ῥηΐδιον δ' ἀπανήνασθαι. 'Πάρα δ' ἔργα βόεσσιν.'
φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἄμαξαν·
νήπιος· οὐδὲ τό γ' οἶδ', ἑκατὸν δέ τε δούρατ' ἁμάξης,
τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήϊα θέσθαι.
εὖτ' ἂν δὲ πρώτιστ' ἄροτος θνητοῖσι φανείη·
δὴ τότ' ἐφορμηθῆναι, ὁμῶς δμῶές τε καὶ αὐτὸς,
αὔην καὶ διερὴν ἀρόων, ἀρότοιο καθ' ὥρην,
πρωῒ μάλα σπεύδων, ἵνα τοι πλήθωσιν ἄρουραι.
ἔαρι πολεῖν· θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.
(νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν.
νειὸς ἀλεξιάρη, παίδων εὐκηλήτειρα.)
Εὔχεσθαι δὲ Διῒ χθονίῳ, Δημήτερί θ' ἁγνῇ,

---

457. *φρένας ἀφν.*, qui sibi sapere videtur. Vulg. *ἄμαξαν*. 458. Al. *τόδ'*. Vulg. *δούραθ' ἁμ.*

459. Var. lect. *μελέτην δεῖ ἔχειν*.

460. Var. lect. *δή*, *ἀροτὸς*, sed videsis me ad Niceph. Blemm. p. 42. Vulg. *φανείῃ*. 461. Var. lect. *δεῖ τότ' ἐφ.*

464. Agrum tertiatum conseras. Vulg. *εἴαρι*.

ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν,
ἀρχόμενος ταπρῶτ' ἀρότου, ὅτ' ἂν, ἄκρον ἐχέτλης
χειρὶ λαβὼν, ὅρπηκι βοῶν ἐπὶ νῶτον ἵκηαι,
ἔνδρυον ἑλκόντων μεσάβῳ. ὁ δὲ τυτθὸν ὄπισθεν
δμωὸς ἔχων μακέλην πόνον ὀρνίθεσσι τιθείη, 470 [440 Br.]
σπέρματα κακκρύπτων. εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς ἀνθρώποις· κακοθημοσύνη δὲ κακίστη.
ὧδέ κεν ἁδροσύνῃ στάχυες νεύοιεν ἔραζε,
εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι,
ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια· καί σε ἔολπα [445. Br.]
γηθήσειν, βιότου αἱρεύμενον ἔνδον ἐόντος.

---

469. Vulg. τὰ πρῶτ' — ὅταν. Al. ἀρότρον. 470. Omnes cdd. ὅρπηκα. Lectio orta ex interpretamentis. Brunck. coni. ὅρπηκι. Graev. ἵηαι.

471. Vulg. μεσάβων. Vulg. ὁ δὲ τυτθὸς ὄ. Schaef. ad Dionys. Hal. de compos. p. 62. τυτθὸν coni.; paullo post insequens.

473. Var. lect. σπέρμα κατακρύπτων, Al. σπέρματα κρύπτων. Var. lect. εὐθυμοσύνη. 474. Var. lect. κακοθυμοσύνη.

476. ὀπάζοι. Versus Ruhnkenio temere suspectus. Vulgo post ὀπάζοι punctum ponitur; sed coniungas v. 477. cum v. 475. 477. Al. τροπῆς.

478. Vulgo βιότοιο ἐρεύμενον, al. lect. βιότου ἐρεύμ.

εὐοχθέων δ' ἵξεαι πολιὸν ἔαρ, οὐ δὲ πρὸς ἄλλους
αὐγάσεαι· σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
Εἰ δέ κεν ἠελίοιο τροπαῖς ἀρόῃς χθόνα δῖαν,
ἥμενος ἀμήσεις, ὀλίγον περὶ χειρὸς ἐέργων, 480 [450. Br.]
ἀντία δεσμεύων κεκονιμένος, οὐ μάλα χαίρων.
οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται.

Ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο·
ἀργαλέος δ' ἄνδρεσσι κατὰ θνητοῖσι νοῆσαι.
εἰ δέ κεν ὄψ' ἀρόσῃς, τόδε κέν τοι φάρμακον εἴη. [455. Br.]
ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισιν

---

479. Var. lect. εὐοχίων δ' ἥξεις. 479. Vulgo οὐδὲ neque. Laute epulans attinges etc.; non autem alios egenus et indigens adire debebis: sed te etc.

482. Ipsis diebus brumalibus sementem ne facias, cfr. Columella II. 8., alioquin sedens poteris messem facere, sedens aristas colligere raras et pusillas. 483. Ob inaequalem aristarum longitudinem. 484. Vulg. δέ σε.

485. Haec in vniuersum valent; interdum tamen aliter fieri potest. Hoc autem dubium est; tu, illa sequere, ἀργαλέος καταvoῆσαι Z. v.

487. Vulgo ἀρόσεις. εἴη, fieri possit, vt hoc inuenias adiumentum.

488. κοκκύζει, τέρπει, nam quotannis fit, certo

τοπρῶτον, τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν·
τῆμος Ζεὺς ὕοι τρίτῳ ἤματι, μηδ' ἀπολήγοι,
μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλήν, μήτ' ἀπολείπων.
οὕτω κ' ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζοι.

490 [460. Br.]

Ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο· μηδέ σε λήθοι
μήτ' ἔαρ γιγνόμενον πολιόν, μήθ' ὥριος ὄμβρος.

÷ Πὰρ δ' ἴθι χαλκεῖον θῶκον καὶ ἐπαλέα λέσχην
÷ ὥρῃ χειμερίῃ, ὁπότε κρύος ἀνέρας ἔργων

---

tempore. ὕοι fieri possit, vt pluat. Vulg. τὸ πρῶτον, var. lect. τέρπει δὲ, — ὕει.

492. Var. lect. προαρηρότῃ s. προαρηρότι. ἰσοφαρίζῃ, ἰσοφαρίζει. Fieri possit.

495. Var. lect. ἐπ' ἀλέα. 496. Vulgo εἴργον, var. lect. ἔργον, ἐέργον, vulg. ἰσχάνει, et ὀφέλλει. Brunck. e coni. ὀφέλλοι. Var. lect. μέγαν οἶκον. Noli, quod pigri homines facere solent, confabulando diem perdere eo hiemis tempore, quo frigus adeo graue factum fuerit, vt homines propter eius vim rus exire et rusticos labores perficere non possint; quo tempore, si quis sedulus est, is, opinor, rem domesticam augendam et amplificandam (domi) curat. Cfr. quae vberius de h. l. disserui ad Niceph. Blemm. p. 58 sqq.

ἰσχάνῃ· ἔνθα κ᾽ ἄοκνος ἀνὴρ μέγα οἶκον ὀφέλλῃ· [465. Br.]
μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ
σὺν πενίῃ, λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζῃς.
πολλὰ δ᾽ ἀεργὸς ἀνήρ, κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
χρηΐζων βιότοιο, κακὰ προςελέξατο θυμῷ.
᾽Ελπὶς δ᾽ οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει, 500 [470. Br.]
ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.
Δείκνυε δὲ δμώεσσι, θέρευς ἔτι μέσσου ἐόντος·
'Οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.'
Μῆνα δὲ Ληναιῶνα (κάκ᾽ ἤματα, βούδορα πάντα),
τοῦτον ἀλεύασθαι, καὶ πηγάδας, αἵ τ᾽ ἐπὶ γαῖαν, [475. Br.]
πνεύσαντος Βορέαο, δυςηλεγέες τελέθουσιν.
508–538 interpositum St. ὅς τε διὰ Θρήκης ἱπποτρόφου εὐρέϊ πόντῳ

499. Vulg. *πιέζοις.* Famelicis superiora corporis membra tabescunt, inferiora tumescunt.

500. Post v. *ἀνήρ* comma posui, nam v. *πολλά,* non ad *κ. ἐ. ἐ. μ.,* sed ad *κακὰ πρ. θ.* referri debet. 501. Var. lect. *προελέξατο.*

502. *οὐκ ἀγαθή,* non est: mala, sed male; modo haud bono neque vtili, vti v. 319. *αἰδὼς οὐκ ἀγαθή.* 504. Var. lect. *θέρους.* 506. Vulg. *κακ᾽,* male.

507. *τοῦτον ἀλ.,* hunc, inquam, vita. 508. Var. lect. *δυσηλεγέος.* Var. lect. *τελέθωσιν,* sed non voluit dicere *ἐὰν αὐταί.* 509. Var. lect. *ἄστε,* sed sequentia confirmant vulg. lect.

ἐμπνεύσας ὤρινε· μέμυκε δὲ γαῖα καὶ ὕλη·
πολλὰς δὲ δρῦς ὑψικόμους ἐλάτας τε παχείας
οὔρεος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ,
ἐμπίπτων, καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
θῆρες δὲ φρίσσουσ', οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο,
τῶν καὶ λάχνῃ δέρμα κατάσκιον· ἀλλά νυ καὶ τῶν
ψυχρὸς ἐὼν διάησι, δασυστέρνων περ ἐόντων.
καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται, οὐδέ μιν ἴσχει.
καί τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔ τι,
οὕνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησιν
ἲς ἀνέμου Βορέου. τροχαλὸν δὲ γέροντα τίθησιν.
καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,
ἥ τε δόμων ἔντοσθε φίλῃ παρὰ μητέρι μίμνει,
οὔπω ἔργ' εἰδυῖα πολυχρύσου Ἀφροδίτης·

---

510. ὤρινε, ad τὸν πόντον neque vero ad τὰς πηγάδας referendum est; adumbrat in hisce vv. vim et naturam Boreae. Resonat terra, reboantque siluae non ob frigus, vt alii volunt, sed ob furentem Boream.

512. Vulgo πιλνᾷ, χθ. πουλ. ἐμπ., κ. τ. λ.

520. τρόχαλον celeriter currentem, neque vero incuruatum. Procl. a verbo τρέπω, celeriter se movens, Moschopolus autem a subst. τρόχος se curvantem; priorem derivationem veram esse quis est qui non credat.

εὖτε λοεσσαμένη τέρενα χρόα καὶ λίπ' ἐλαίῳ
χρισαμένη, νυχίη καταλέξεται ἔνδοθι οἴκου
ἤματι χειμερίῳ, ὅτ' ἀνόστεος ὃν πόδα τένδει
ἔν τ' ἀπύρῳ οἴκῳ καὶ ἤθεσι λευγαλέοισιν.
οὐ γάρ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι·
ἀλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
στρωφᾶται, βράδιον δὲ Πανελλήνεσσι φαείνει.
καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται
λυγρὸν μυλιόωντες ἀνὰ δρία βησσήεντα
φεύγουσιν· καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν,
οἳ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσιν,
καὶ γλάφυ πετρῆεν· τότε δὴ τρίποδι βροτῷ ἶσοι,
οὗ τ' ἐπὶ νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας ὁρᾶται,

---

524. Ne interpreteris εὖ τε et bene.

525. Var. lect. μυχίη. ἔνδοθεν. 526. Antig. Caryst. τέμνει. Indic. signif.: eo tempore, quo id fit. Exos: polypus.

527. Vulg. καὶ ἐν ἤθ. 528. Hermann. ad Orph. pag. 780. οὐδέ οἱ coni.; praeterea v. 529. κυαν. ἀν. et Πανελλ. v. sq. offendunt.

532. Var. lect. μαλκιόωντες, ob seqq. minus apta. Al. δρύα. 533. τοῦτο, id est τὸ φεύγειν. 534. σκέπα Ruhnk. Hymn. Hom. in Cer. v. 12.

535. τρίποδι βρ. seni, qui baculo tanquam tertio vtitur pede. Vossius pessime h. l. detorquet.

525. Melior lect. est μυχίη, quae jam loci sensum est praeferenda. — 526. [illegible] — Πανελλ. [illegible] — [illegible]

τῷ ἴκελοι φοιτῶσιν ἀλευόμενοι νίφα λευκήν.
καὶ τότε ἕσσασθαι ἔρυμα χροός, ὥς σε κελεύω·
χλαῖνάν τε μαλακὴν καὶ τερμιόεντα χιτῶνα·
στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι·
τὴν περιέσσασθαι, ἵνα τοι τρίχες ἀτρεμέωσιν,
μηδ' ὀρθαὶ φρίσσωσιν, ἀειρόμεναι κατὰ σῶμα.
ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο
ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας.
πρωτογόνων δ' ἐρίφων, ὁπότ' ἂν κρύος ὥριον ἔλθῃ,
δέρματα συῤῥάπτειν νεύρῳ βοός, ὄφρ' ἐπὶ νώτῳ
ὑετοῦ ἀμφιβάλῃ ἀλέην· κεφαλῆφι δ' ὕπερθεν
πῖλον ἔχειν ἀσκητόν, ἵν' οὔατα μὴ καταδεύῃ.

---

537. ἴκελοι φ. οἱ θῆρες. 539. Iam apparet, cur haec quae aliena videri possunt addiderit. Hoc enim dicit: illo tempore frigus vita; itaque aut domi maneas, vti tenella puellula, aut corpus bene munias vestibus et pellibus, vt frigoris et Boreae vim possis perferre, quemadmodum oues. Alioqui non est, quo te defendas et tuearis. Vulg. μὲν. 542. τὴν i. e. χλαῖναν, cfr. v. 408.

545. πρωτογόνων, qui hornotinorum primi sunt. Var. lect. ἔλθοι. 546. Vulg. ὤμῳ, al. ὤμοι.

547. Vulg. ἀλεὴν. κεφαλῆφι.

ψυχρὴ γάρ τ' ἠὼς πέλεται Βορέαο πεσόντος,
ἠῷος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος
ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις·
ὅς τε ἀρυσσάμενος ποταμῶν ἄπο αἰεναόντων,
ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ,
ἄλλοτε μέν θ' ὕει ποτὶ ἕσπερον, ἄλλοτ' ἄησιν,
πυκνὰ Θρηϊκίου Βορέου νέφεα κλονέοντος.
τὸν φθάμενος, ἔργον τελέσας, οἶκόνδε νέεσθαι,
μή ποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ,
χρῶτα δὲ μυδαλέον θείῃ, κατά θ' εἵματα δεύσῃ· [520. Br.]
f. 506 ἀλλ' ὑπαλεύασθαι· μεὶς γὰρ χαλεπώτατος οὗτος
χειμέριος, χαλεπὸς προβάτοις, χαλεπός τ' ἀνθρώποις.

ἐμπίπτων v. 510

549. πέσοντος ~~cessante cfr. Od. τ. 202. ξ. 475.~~

550—555. Ruhnk. et Brunck. temere eiiciunt, v. 556. τὸν φθ. non de Borea, quod ineptum foret, sed de ἀέρι πορυφόρῳ matutino, qui sub vesperam modo in pluuiam modo in ventum conuertitur, debet intelligi. ἀὴρ πυροφόρος nebula frugifera, cfr. Dorvill. Vann. Crit. p. 108. Seleucus legit ὀμβροφόρος. μάκαρες locupletes, diuites. Il. ω. 377., λ. 68., Od. α. 217.

556. Vulg. ἔργα. 558. χρῶτά τε, et θείῃ.

560. προβάτοις de omni pecorum genere, vt apud

τῆμος θῶμισυ βουσὶν, ἐπ' ἀνέρι δὲ πλέον εἴη
ἁρμαλιῆς· μακραὶ γὰρ ἐπίῤῥοθοι εὐφρόναι εἰσίν.
—— ταῦτα φυλασσόμενος, τετελεσμένον εἰς ἐνιαυτὸν
—— ἰσοῦσθαι νύκτας τε καὶ ἤματα, εἰσόκεν αὖτις
—— γῆ, πάντων μήτηρ, καρπὸν σύμμικτον ἐνείκῃ.
Εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο [525. Br.]
χειμέρι' ἐκτελέσῃ Ζεὺς ἤματα· δή ῥα τότ' ἀστὴρ
'Αρκτοῦρος προλιπὼν ἱερὸν ῥόον 'Ωκεανοῖο
πρῶτον παμφαίνων ἐπιτέλλεται ἀκροκνέφαιος.
τὸν δὲ μετ' ὀρθρογόη Πανδιονὶς ὦρτο χελιδὼν

Homer., Herodot., Eupol., Pindar.; oues enim frigore non laeduntur, cfr. 518. *χαλεπός τ' ἀνθ.* e coni., vulg. *δ'*.

561. Al. *θώμιου, τώμιον.* Vulg. *βοῦσ', ἐπὶ δ' ἀνέρι καὶ πλέον ἐ.*, al. *βουσὶν., ἐπὶ δ' ἀν. τὸ πλέον ἐ.* Bubus dimidia pars alimoniae, nihil enim laborant, hominibus vero paullo maior pars cibi, quam dimidia, praebeatur.

563—565. Spurios censuit Plutarchus; Moschopulus non explicat. *φυλασσόμενος* non habet ad quod referatur. 564. Vulg. *αὖθις.* 565. Var. lect. *σύμμικτον κ.*

569. Sub in. Mart. 570. Vulg. *τόνδε.* Var. lect.

ἐς φάος ἀνθρώποις, ἔαρος νέον ἱσταμένοιο.
τὴν φθάμενος, οἴνας περιταμνέμεν· ὣς γὰρ ἄμεινον.
ἀλλ' ὁπότ' ἂν φερέοικος ἀπὸ χθονὸς ἀμφυτὰ βαίνῃ
Πληϊάδας φεύγων, τότε δὴ σκάφος οὐκ ἔτι οἰνέων·
ἀλλ' ἅρπας τε χαρασσέμεναι, καὶ δμῶας ἐγείρειν.
φεύγειν δὲ σκιεροὺς θώκους καὶ ἐπ' ἠῶ κοῖτον
ὥρῃ ἐν ἀμήτου, ὅτε τ' ἠέλιος χρόα κάρφει.
τημοῦτος σπεύδειν, καὶ οἴκαδε καρπὸν ἀγινεῖν,
ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴη.
ἠὼς γάρ τ' ἔργοιο τρίτην ἀπαμείρεται αἶσαν·
ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου·
ἠώς, ἥ τε φανεῖσα πολέας ἐπέβησε κελεύθου
ἀνθρώπους, πολλοῖσί τ' ἐπὶ ζυγὰ βουσὶ τίθησιν.

ὀρθογόη, diuersum iam olim erat de h. l. iudicium.

573. Quando cochlea calorem vitans vmbram petit, c. x. Maii. Vulg. ἂν, al. ἀν.

577. Vulg. ἀμητοῦ, vid. n. v. 386. Var. lect. κάρφῃ. 578. Var. lect. ἀγείρειν. Var. lect. ὄρθον, Schaef. εἴῃ. 580. Vulg. ἀπομείρεται. 583. Vulg. πολλοῖσι δ'.

Ἦμος δὲ σκόλυμός τ᾽ ἀνθεῖ, καὶ ἠχέτα τέττιξ
δενδρέῳ ἐφεζόμενος λιγυρὴν ἐπιχεύετ᾽ ἀοιδὴν
πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ·
τῆμος πιόταταί τ᾽ αἶγες, καὶ οἶνος ἄριστος,
μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τε ἄνδρες
εἰσίν, ἐπεὶ κεφαλὴν καὶ γούνατα Σείριος ἄζει,
αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος. ἀλλὰ τότ᾽ ἤδη
εἴη πετραίη τε σκιὴ, καὶ Βίβλινος οἶνος,
μᾶζά τ᾽ ἀμολγαίη, γάλα τ᾽ αἰγῶν σβεννυμενάων
καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τετοκυίης,
πρωτογόνων τ᾽ ἐρίφων· ἐπὶ δ᾽ αἴθοπα πινέμεν οἶνον,
ἐν σκιῇ ἑζόμενον, κεκορημένον ἦτορ ἐδωδῆς,
ἀντίον ἀκραέος Ζεφύρου τρέψαντα πρόσωπα,

---

585. Vulg. καταχεύετ᾽. 588. Var. lect. δέ τοι. 591. Cfr. Hermann. ad Orph. p. 757. Schaef. coni. εἴη πέτρη τε σκιερή. Vulg. Βύβλινος. 592. μᾶζα cfr. Drac. Strat. p. 72. l. 3., p. 95. 2., p. 100. 1. Polenta lactea. σβεννυμ., tenue et aquatum. 594. πρωτογόνων cfr. v. 545.

596. Var. lect. εὐκραέος, ἀνέμου, πρόσωπον. V. ἀκραέος pronuntia τρισυλλάβως, cfr. v. 601.

κρήνης τ' ἀενάου καὶ ἀποῤῥύτου, ἥ τ' ἀθόλωτος.
τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.
δμωσὶ δ' ἐποτρύνειν Δημήτερος ἱερὸν ἀκτὴν
δινέμεν, εὖτ' ἂν πρῶτα φανῇ σθένος Ὠρίωνος,
χώρῳ ἐν εὐαεῖ καὶ ἐϋτροχάλῳ ἐν ἀλωῇ.
μέτρῳ δ' εὖ κομίσασθαι ἐν ἄγγεσιν. αὐτὰρ ἐπὴν δὴ
πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθι οἴκου,
θῆτά τ' ἄοικον ποιεῖσθαι καὶ ἄτεκνον ἔριθον
δίζεσθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος·
καὶ κύνα καρχαρόδοντα κομεῖν· μὴ φείδεο σίτου·
μή ποτέ σ' ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήμαθ' ἕληται·
χόρτον δ' ἐςκομίσαι καὶ συρφετόν, ὄφρα τοι εἴη

---

598. Vulg. τρὶς δ' ὕδ. 600. Ineunte m. Augusto. Var. lect. τέταρτον.

601. Vulg. εὐαέϊ, sed vid. Friedemann. de med. Pentam. syll. p. 364., Iacobs. Anthol. Palat. T. III. p. 640., Schaef. Poët. gnom. p. 239. Al. εὐτροχάλῳ.

603. Vulg. ἔνδοθεν. 604. θῆτ' ἄοικον.

608. Var. lect. χόρτον τ'.

βουσὶ καὶ ἡμιόνοισιν ἐπηετανόν. αὐτὰρ ἔπειτα
δμῶας ἀναψῦξαι φίλα γούνατα, καὶ βόε λῦσαι.

Εὖτ' ἂν δ' Ὠρίων καὶ Σείριος ἐς μέσον ἔλθῃ
οὐρανόν, Ἀρκτοῦρον δ' ἐςίδῃ ῥοδοδάκτυλος Ἠώς·
ὦ Πέρση, τότε πάντας ἀπόδρεπε οἴκαδε βότρυς.
δεῖξαι δ' ἠελίῳ δέκα τ' ἤματα καὶ δέκα νύκτας·
πέντε δὲ συσκιάσαι· ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
δῶρα Διωνύσου πολυγηθέος. αὐτὰρ ἐπὴν δὴ
Πληϊάδες θ' Ὑάδες τε, τό τε σθένος Ὠρίωνος
δύνωσιν· τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
ὡραίου· πλειὼν δὲ κατὰ χθονὸς ἄρμενος εἴη.

Εἰ δέ σε ναυτιλίης δυςπεμφέλου ἵμερος αἱρεῖ·

---

609. ἐπήετανον τετρασυλλάβως vti in Hymn. Hom. in Mercur. v. 113. 610. Vulg. ἀναψύξαι.

611. Medio Septembri. Var. lect. ἔλθοι. 612. Var. lect. ἐςίδοι. 616. Al. πολυγήθεος.

618. δύνωσιν, ineunte Nouembri. Var. lect. ἀρότρου, cfr. v. 460. 619. Hac ratione opera rustica per totum annum bene disposita esse possint.

620. Var. lect. αἱρῇ. Alteram viam nunc demon-

εὖτ' ἂν Πληϊάδες, σθένος ὄβριμον Ὠρίωνος
φεύγουσαι, πίπτωσιν ἐς ἠεροειδέα πόντον·
δὴ τότε παντοίων ἀνέμων θύουσιν ἀῆται.
Καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ,
γῆν δ' ἐργάζεσθαι μεμνημένος, ὥς σε κελεύω.
νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι, πυκάσαι τε λίθοισιν
πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
χείμαρον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος.
ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐνικάτθεο οἴκῳ,
εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο·
πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι·
αὐτὸς δ' ὡραῖον μίμνειν πλόον, εἰσόκεν ἔλθῃ.

---

strat, qua Perses locuples fieri possit; quum prioris descriptionem, cfr. v. 384., iam absoluerit.

627. ἴσχωσ' οἱ λίθοι. 628. χείμαρος paxillum significat in ima naue, quo extracto sentina defluit. Vulgo is εὐδιαῖος vocabatur; Eustath. ad Iliad. έ. p. 525.

629. ὅπλα funes et caetera instrumenta nautica. 630. πτερὰ, cfr. Odyss. λ'. 125., ψ'. 272. 631. Cfr. v. 45. 632. Var. lect. ἔλθοι.

Καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν, ἐν δέ τε φόρτον
ἄρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι·
ὥςπερ ἐμός τε πατὴρ καὶ σός, μέγα νήπιε Πέρση,
πλωΐζεσκ' ἐν νηυσὶ, βίου κεχρημένος ἐσθλοῦ.
ὅς ποτε καὶ τῇδ' ἦλθε, πολὺν διὰ πόντον ἀνύσσας,
Κύμην Αἰολίδα προλιπὼν, ἐν νηΐ μελαίνῃ·
οὐκ ἄφενος φεύγων οὐδὲ πλοῦτόν τε καὶ ὄλβον,
ἀλλὰ κακὴν πενίην, τὴν Ζεὺς ἄνδρεσσι δίδωσιν.
νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ,
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.
Τύνη δ', ὦ Πέρση, ἔργων μεμνημένος εἶναι
ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιστα.

---

634. ἐντύνασθ' ἵνα οἴκ. coni. Heinrich. in Epim. ad Twesten. Commentat. Hesiod. p. 71. sq. 636. Var. lect. πλωΐζεσκεν, s. πλωΐζεσκε.

637. Var. lect. βαθὺν. 639. sq. Brunck. eiecit. v. 25. ὁ ἄφενος.

642. Var. lect. θέρος. Synizesis collocetur in arsi, ἀργαλέ | η οὐδέ ποτ' | ἐ.

644. Nauigatio maiorem etiam curam postulat, quam caetera negotia.

νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι·
μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
ἔσσεται, εἴ κ' ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας.
εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψας ἀεσίφρονα θυμὸν [605. Br.]
βούληαι χρέα τε προφυγεῖν καὶ ἀτερπέα λιμόν·
δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης,
οὔτε τι ναυτιλίης σεσοφισμένος, οὔτε τι νηῶν.
οὐ γάρ πώποτε νηΐ γ' ἐπέπλων εὐρέα πόντον,
εἰ μὴ ἐς Εὔβοιαν ἐξ Αὐλίδος, ᾗ πότ' Ἀχαιοὶ,
μείναντες χειμῶνα, πολὺν σὺν λαὸν ἄγειραν
Ἑλλάδος ἐξ ἱερῆς Τροίην ἐς καλλιγύναικα.

---

648. sq. In his vv. iam olim duplex erat lectio; altera: εὖτ' ἂν — τρέψας — βούληαι χρέα τε προφυγεῖν, altera: εὖτ' ἂν τρέψῃς — βούληαι δὲ χρ. τε φυγεῖν. Hinc orta sunt βούλεαι δὲ χρ. τε προφυγεῖν, et al. Var. lect. λιμὸν ἀτερπῆ, sed cfr. Odyss. κ'. 245. λ'. 94. 650. Var. lect. δέ τοι.

651. sq. Offenderunt critt. nonnullos vett.

653. Vulg. ἦ ποτ'. Totam hanc narrationem vsque ad v. 665. spuriam esse censuit Plutarchus, teste Proclo.

—— ἔνθα δ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος Ἀμφιδάμαντος,
—— Χαλκίδα τ', εἰςεπέρησα. τὰ δὲ προπεφραδμένα πολλὰ
—— ἄθλ' ἔθεσαν παῖδες μεγαλήτορες· ἔνθα μέ φημι
>÷ —— ὕμνῳ νικήσαντα φέρειν τρίποδ' ὠτώεντα.
—— τὸν μὲν ἐγὼ Μούσαις Ἑλικωνιάδεσσ' ἀνέθηκα,
—— ἔνθα με τοπρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
—— τόσσον τοι νηῶν γε πεπείρημαι πολυγόμφων.
—— ἀλλὰ καὶ ὣς ἐρέω Ζηνὸς νόον Αἰγιόχοιο·
—— Μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.
"Ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο,
ἐς τέλος ἐλθόντος θέρεος, καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος· οὔτε κε νῆα
καυάξαις, οὔτ' ἄνδρας ἀποφθίσειε θάλασσα,

656. Vulg. ἐνθάδ'. 657. Var. lect. προπεφασμένα, cfr. Hermann. ad Orph. p. 757. 659. >÷ Nam alii legebant: ὕμνῳ νικήσαντ' ἐν Χαλκίδι θεῖον Ὅμηρον.

661. ἔνθα non ἐν Χαλκίδι, sed ἐν τῷ Ἑλικῶνι, quod nomen latet in vocab. Ἑλικωνιάδεσσι. 662. Var. lect. πεπείραμαι.

665. Ab in. m. Iul. per quinquaginta dies.

εἰ δὴ μὴ πρόφρων γε Ποσειδάων ἐνοσίχθων,
ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλῃσιν ὀλέσσαι.
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε.
τῆμος δ' εὐκρινέες τ' αὖραι, καὶ πόντος ἀπήμων·
εὔκηλος τότε νῆα θοὴν, ἀνέμοισι πιθήσας,
ἑλκέμεν ἐς πόντον, φόρτον τ' εὖ πάντα τίθεσθαι.
σπεύδειν δ' ὅττι τάχιστα πάλιν οἰκόνδε νέεσθαι·
μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον,
καὶ χειμῶν' ἐπιόντα, Νότοιό τε δεινὰς ἀήτας,
ὅς τ' ὤρινε θάλασσαν, ὁμαρτήσας Διὸς ὄμβρῳ
πολλῷ, ὀπωρινῷ· χαλεπὸν δέ τε πόντον ἔθηκεν.
Ἄλλος δ' εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν.
ἦμος δὴ τοπρῶτον, ὅσον τ' ἐπιβᾶσα κορώνη
ἴχνος ἐποίησεν, τόσσον πέταλ' ἀνδρὶ φανείῃ

---

669. Vulg. εἰ μὴ δή.

672. sq. Vulg. ἀπήμων εὔκηλος, cfr. Buttmann. Lexilog. p. 141. sqq. Mercesque. Vulg. φόρτον δ'.

682. Vulg. φανείη.

ἐν κράδῃ ἀκροτάτῃ· τότε δ' ἄμβατός ἐστι θάλασσα.
εἰαρινὸς δ' οὗτος πέλεται πλόος. οὔ μιν ἔγωγε
αἴνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστίν,
ἁρπακτός· χαλεπῶς κε φύγοις κακόν. ἀλλά νυ καὶ τὰ
ἄνθρωποι ῥέζουσιν ἀϊδρείῃσι νόοιο·
χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσιν.
⟩÷ δεινὸν δ' ἐστὶ θανεῖν κατὰ κύμασιν· ἀλλά σ' ἄνωγα
⟩÷ φράζεσθαι τάδε πάντα μετὰ φρεσίν, ὡς ἀγορεύω.
Μὴ δ' ἐνὶ νηυσὶν ἅπαντα βίον κοίλῃσι τίθεσθαι·
ἀλλὰ πλέω λείπειν, τὰ δὲ μείονα φορτίζεσθαι.
δεινὸν γάρ, πόντου μετὰ κύμασι πήματι κῦρσαι·
⟩÷ δεινὸν δ', εἴ κ' ἐπ' ἄμαξαν ὑπέρβιον ἄχθος ἀείρας,

---

686. Var. lect. γε φύγῃς. τόν.

687. Var. lect. ἀϊδρίῃσι. 689. Vulg. μετὰ κύμασι. 690. Vulg. ὅσσ' ἀ., al. ὥς σ' ἀ. al. ὥς σε κελεύω. 691. Vulg. μηδ'.

693. Var. lect. πήμασι, πήματα, vulg. κῦρσαι.

694. Vulg. δεινόν γ' — ἐφ' ἄμ. Var. δεινόν τ'.

ἄξονα καυάξαις, τὰ δὲ φορτί᾽ ἀμαυρωθείη.
Μέτρα φυλάσσεσθαι· καιρὸς δ᾽ ἐπὶ πᾶσιν ἄριστος.

Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι, [640. Br.]
μήτε τριηκόντων ἐτέων μάλα πόλλ᾽ ἀπολείπων,
μήτ᾽ ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος.
ἡ δὲ γυνὴ τέτορ᾽ ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο.
παρθενικὴν δὲ γαμεῖν, ὥς κ᾽ ἤθεα κεδνὰ διδάξῃς·
τὴν δὲ μάλιστα γαμεῖν, ἥ τις σέθεν ἐγγύθι ναίει, 700 [645. Br.]
πάντα μάλ᾽ ἀμφὶς ἰδὼν, μὴ γείτοσι χάρματα γήμῃς.
Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ᾽ ἄμεινον,
τῆς ἀγαθῆς· τῆς δ᾽ αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,

---

695. Var. lect. καὶ φ. 696. Μέτρα non respiciunt v. 650., sed modum significant.

697. Var. lect. ὡραίαν. ἐπί. 698. Var. lect. τριήκοντα.

700. Quatuor post initium pubertatis; vulg. ἡβώῃ. πέμπτῳ decimo nono.

701. ἵνα ἤθεα Aristotel. et Aristid. Heinrich. ad Twesten. Commentat. Hes. p. 71.

702. Vulg. τήνδε. 704. Var. lect. οὐδὲν γὰρ γυν.

δειπνολόχης, ἥ τ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
εὕει ἄτερ δαλοῦ, καὶ ὠμῷ γήραϊ δῶκεν. [650. Br.]

Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι·
μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·
εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς·
μηδὲ ψεύδεσθαι γλώσσης χάριν. εἰ δὲ σέ γ' ἄρχῃ,
ἤ τι ἔπος εἰπὼν ἀποθύμιον, ἠὲ καὶ ἔρξας· [655. Br.]
δὶς τόσα τίνυσθαι μεμνημένος. εἰ δέ κεν αὖτις
ἡγῆτ' ἐς φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν,

---

706. Stobaeus et ex eo Brunckius *δειπνολόχου*, vt Zonar. Lex. p. 479. Sed Eustath., Etym. Magn. et Schol. illam edd. lectionem confirmant.

707. Vulg. *εὕει*. Var. lect. *καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.*

710. Var. lect. *πρότερον*. Vulg. *ἔρξῃς*.

711. Vulg. *εἰ δέ κεν ἄρχῃ*. Var. lect. *εἰ δέ σεν'*, *εἰ δέ σέ γ' ἄρχει*. Vossius sensum plane peruertit. 'Si ille *κακὸν ἔρξας ἄρχῃ*, sequaris; at vero ne eodem modo punias, sed duplicem exigas mulctam.' *Τίνυσθαι* exigere, *τίειν* luere poenam.

712. Vulg. *ἔπος τ'*. 713. Vulg. *τίννυσθαι*, *αὖθις*.

714. Var. lect. *ἡγεῖτ'*.

E 2

δέξασθαι· δειλός τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται· σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
Μηδὲ πολύξεινον, μηδ' ἄξεινον καλέεσθαι,
μηδὲ κακῶν ἕταρον, μηδ' ἐσθλῶν νεικεστῆρα·
μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.
γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης·
εἰ δὲ κακόν κ' εἴπῃς, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.
Μηδὲ πολυξείνου δαιτὸς δυςπέμφελος εἶναι
ἐκ κοινοῦ· πλείστη δὲ χάρις, δαπάνη τ' ὀλιγίστη.
Μηδέ ποτ' ἐξ ἠοῦς Διῒ λείβειν αἴθοπα οἶνον
χερσὶν ἀνίπτοισιν, μηδ' ἄλλοις ἀθανάτοισιν·

---

715. Var. lect. δειλός τις. 718. Var. lect. νεικηστῆρα.

723. Vulg. κακὸν εἴποις. Var. lect. κακόν γ' εἴπῃς. Var. lect. ἀκούσεις. 'Si dixeris, fieri possit, vt audias.'

οὐ γὰρ τοίγε κλύουσιν, ἀποπτύουσι δέ τ' ἀράς.
μηδ' ἀντ' ἠελίου τετραμμένος ὀρθὸς ὀμιχεῖν.
αὐτὰρ ἐπήν κε δύῃ, μεμνημένος, ἔς τ' ἀνιόντα,
μήτ' ἐν ὁδῷ, μήτ' ἐκτὸς ὁδοῦ προβάδην, οὐρήσῃς,
μηδ' ἀπογυμνωθείς· μακάρων τοι νύκτες ἔασιν· 730 [675. Br.]
ἑζόμενος δ' ὅγε θεῖος ἀνὴρ, πεπνυμένα εἰδώς,
ἢ ὅγε πρὸς τοῖχον πελάσας εὐερκέος αὐλῆς.
μηδ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθι οἴκου
ἑστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.
μηδ' ἀπὸ δυςφήμοιο τάφου ἀπονοστήσαντα [680. Br.]
σπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.
— 738 b. Μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι.

---

729. Vulg. ἠελίοιο. 730. Var. lect. ἐπεί κε. Vulg. ἀνιόντος.

731. 732. Var. lect. μήτ' ἀπογυμνωθείς, al. μηδ' ἀπογυμνωθῇς. Sensus est: μὴ οὐρήσῃς προβαίνων, [μήτ' ἐν ὁδῷ, μήτ' ἐκτὸς ὁδοῦ (προβάδην)], μηδ' ἀπογυμνωθείς (οὐρήσῃς.) Vulg. ἔασσιν.

734. Var. lect. εὐεργέος. 735. Vulg. ἔνδοθεν 736. Var. lect. ἱστίῃ.

738 b. Hunc versum, qui in plerisque semel modo

Μηδέ ποτ' ἀενάων ποταμῶν καλλίῤῥοον ὕδωρ
ποσσὶ περᾶν, πρίν γ' εὔξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα,
χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.
ὃς ποταμὸν διαβῇ, κακότητι δὲ χεῖρας ἄνιπτος, 740 [685. Br.]
τῷ δὲ θεοὶ νεμεσῶσι, καὶ ἄλγεα δῶκαν ὀπίσσω.
Μηδ' ἀπὸ πεντόζοιο, θεῶν ἐν δαιτὶ θαλείῃ,
αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ.
μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν
πινόντων· ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται. [690. Br.]
μηδὲ δόμον ποιῶν ἀνεπίξεστον καταλείπειν,
μή τοι ἐφεζομένη κρώξῃ λακέρυζα κορώνη.
μηδ' ἀπὸ χυτροπόδων ἀνεπιῤῥέκτων ἀνελόντα
ἔσθειν, μηδὲ λόεσθαι· ἐπεὶ καὶ τοῖς ἔνι ποινή.

---

legitur, infr. v. 760., bis exhibent Tzetzes et multi codd.

743. Vulg. τῷδε. 744. Var. lect. ἐνὶ. Noli e quinque ramis manus aridum resecare, i. e. noli vngues resecare.

749. Nocet enim, si vel semel crocitauerit. Var. lect. κρώζῃ.

750. Ex ollis nondum lustratis; alii aliter.

μηδ' ἐπ' ἀκινήτοισι καθίζειν (οὐ γὰρ ἄμεινον)
παῖδα δυωδεκαταῖον, ὅ τ' ἀνέρ' ἀνήνορα ποιεῖ·
μηδὲ δυωδεκάμηνον· ἴσον καὶ τοῦτο τέτυκται.
μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι
ἀνέρα· λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ
ποινή. μηδ' ἱεροῖσιν ἔπ αἰθομένοισι κυρήσας
μωμεύειν ἀΐδηλα· θεός τοι καὶ τὰ νεμεσσᾷ.
μηδέ ποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων,
μηδ' ἐπὶ κρηνάων, οὐρεῖν, μάλα δ' ἐξαλέασθαι·
μηδ' ἐναποψύχειν· τὸ γὰρ οὔ τοι λώϊόν ἐστιν.
Ὧδ' ἔρδειν, δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.

---

753. Noli in sepulcris eum collocare, sedemue ei parare. Vulg. ὅτ'.

754. Mihi admodum suspectus esse videtur. Thiersch. corrigit eum in Act. Mon. I. p. 217., sed contra codd. auctoritatem. Var. lect. ἴσον γὰρ καὶ τὸ τέτυκται. Heinsius hos versus ita traiecit, vt post v. 755. μηδὲ γυναικ. λ. etc. poneret v. 753. (παῖδα δυωδεκατ.) v. 754. (μηδὲ δυωδεκαμ.) v. 756. (ἀνέρα etc.). 757. Vulg. ἐπ'.

758. Vulg. θεός νύ τι, al. θεύς νύ τοι. 761. Var. lect. οὔ τι. 760—3. Plutarcho spurii. 762. Vulg. ἔρδειν.

φήμη γάρ τε κακὴ πέλεται κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.
φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
λαοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος, εὖ κατὰ μοῖραν
πεφραδέμεν δμώεσσι· τριηκάδα μηνὸς ἀρίστην
ἔργα τ' ἐποπτεύειν, ἠδ' ἁρμαλιὴν δατέασθαι,
εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν.
αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς πάρα μητιόεντος.
πρῶτον ἔνη, τετράς τε, καὶ ἑβδόμη, ἱερὸν ἦμαρ,

---

763. Vulgo h. l. male sic explicatur: **φήμη γάρ τε κακὴ πέλεται, κ. μ. ἀ.** fama enim mala est, quae facile excitatur; imo sic intelligi debet: mala enim fama facillime excitatur, difficulter vero restinguitur.

765. Duplex iam olim in h. l. erat lectio; altera **φημίζουσι**: fama a multis dissipata numinis instar est; altera **φημίξωσι**: fama, si a multis dissipata fuerit, si percrebuerit, numinis inst. est. Var. lect. **φημίζωσι**, al. **φημίξουσι. θεός νύ τοι.**

769. Vltimus mensis dies. 770. Quo tempore iudicia exerceri solent. 771. Vulg. **παρά.** 772. Vulg. **ἔνη.**

τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ·
ὀγδοάτη τ' ἐνάτη τε, δύω γε μὲν ἤματα μηνὸς
ἔξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι.
ἑνδεκάτη δὲ, δυωδεκάτη τ', ἄμφω γε μὲν ἐσθλαί,
ἡμὲν ὄϊς πείκειν, ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι· [720. Br.]
ἡ δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων.
τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης
ἤματος ἐκ πλείου, ὅτε τ' ἴδρις σωρὸν ἀμᾶται·
τῇ δ' ἱστὸν στήσαιτο γυνὴ, προβάλοιτό τε ἔργον.
μηνὸς δ' ἱσταμένου τρισκαιδεκάτην ἀλέασθαι [725. Br.]
σπέρματα δάσσασθαι· φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.
ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσιν·

---

775. Iungas ἔξοχα πένεσθαι βρ. ἔ. maxime commodi, quibus perficias etc., neque vero ἔξοχ' ἀεξομ. praecipue ineuntis mensis.

776. Vulg. ἑνδεκάτη τε. 777. Vulg. ἡ μὲν — ἡ δ'. 781. Vulg. τῇδ'. Sensus est: vterque dies faustus est; duodecimus vero praestat, quum aliquid praecipui habeat. Aranea enim illo die opus incipit; hanc imitetur mulier. Cfr. Nicephor. Blemm. p. 24.

783. Altera lectio et vulg. quidem σπέρματος ἄρξασθαι. Var. lect. ἐκθρέψασθαι.

ἀνδρογόνος δ' ἀγαθή· κούρῃ δ' οὐ σύμφορός ἐστιν,
οὔτε γενέσθαι πρῶτ', οὔτ' ἄρ γάμου ἀντιβολῆσαι.
οὐδὲ μὲν ἡ πρώτη ἕκτη κούρῃσι γενέσθαι
ἄρμενος, ἀλλ' ἐρίφους τάμνειν καὶ πώεα μήλων,
σηκόν τ' ἀμφιβαλεῖν ποιμνήϊον ἤπιον ἦμαρ·
>÷ ἐσθλὴ δ' ἀνδρογόνος, φιλέει δέ τε κέρτομα βάζειν,
ψεύδεά θ' αἱμυλίους τε λόγους κρυφίους τ' ὀαρισμούς.
μηνὸς δ' ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν, οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.
εἰκάδι δ' ἐν μεγάλῃ, πλέῳ ἤματι, ἴστορα φῶτα
γείνασθαι· μάλα γάρ τε νόον πεπυκασμένος ἐστίν.
ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη, κούρῃ δέ τε τετρὰς

785. Vulg. *ἀνδρογόνοι τ' ἀγ.* 787. Var. lect. *κούρῃ τε γεν.*

790. *φιλέει δὲ οὗτος ὁ ἀνήρ*, inest enim in v. *ἀνδρογόνος* haec notio, cfr. v. 660. Var. lect. *φιλέοι δέ κε*, al. *φιλέοι δέ τε*. 791. XXIX.

795. Var. lect. *γίγνεσθαι· μέγα —. πεπυγμένος.*

796. Vulg. lect. *κούρῃσι δὲ*, al. *κούρῃ δὲ τετράς.*

μέσσῃ. τῇ δέ τε μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς, [740. Br.]
καὶ κύνα καρχαρόδοντα, καὶ οὐρῆας ταλαεργοὺς
πρηΰνειν, ἐπὶ χεῖρα τιθείς. πεφύλαξο δὲ θυμῷ
τετράδ' ἀλεύασθαι φθίνοντός θ' ἱσταμένου τε
ἄλγεα θυμοβορεῖν· μάλα τοι τετελεσμένον ἦμαρ.
ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθ' εἰς οἶκον ἄκοιτιν, 800 [745. Br.]
οἰωνοὺς κρίνας, οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.
πέμπτας δ' ἐξαλέασθαι· ἐπεὶ χαλεπαί τε καὶ αἰναί.
ἐν πέμπτῃ γάρ φασιν Ἐριννύας ἀμφιπολεύειν,
Ὅρκον τιννυμένας, τὸν Ἔρις τέκε πῆμ' ἐπιόρκοις.
μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν, [750. Br.]
εὖ μάλ' ὀπιπτεύοντα, ἐϋτροχάλῳ ἐν ἀλωῇ
βάλλειν· ὑλοτόμον τε ταμεῖν θαλαμήϊα δοῦρα,

---

801. Cfr. v. 772. sq. 802. Vulg. ἄγεσθαι ἐς.

804. Dies V. XV. XXV. 806. Al. Lect. γεινόμενον. Caeterum cfr. 221. Vulg. τιννυμένας. Post v. 810. ed. Trinc., Proclum sequuta, repetit v. 422. τῆμος ἀδικτοτάτη etc.

νήϊά τε ξύλα πολλὰ, τά τ' ἄρμενα νηυσὶ πέλονται.
τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς.
εἰνὰς δ' ἡ μέσση ἐπὶ δείελα λώϊον ἦμαρ.
πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν·
ἐσθλὴ μὲν γάρ θ' ἥδε φυτευέμεν, ἠδὲ γενέσθαι
ἀνέρι τ' ἠδὲ γυναικί· καὶ οὔ ποτε πάγκακον ἦμαρ.
παῦροι δ' αὖτε ἴσασι τριςεινάδα μηνὸς ἀρίστην
ἄρξασθαί τε πίθου, καὶ ἐπὶ ζυγὸν αὐχένα θεῖναι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσιν,
νῆα πολυκληῖδα θοὴν εἰς οἴνοπα πόντον
εἰρύμεναι, παῦρο δέ τ' ἀληθέα κικλήσκουσιν·
≻ τετράδι δ' οἶγε πίθον· πέρι πάντων ἱερὸν ἦμαρ
≻ μέσση· παῦροὶ δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην

---

812. Vulg. ἐπιδείελα cfr. v. 823.

814. Var. lect. γάρ ἥδε. al. ἠδὲ et φυτεύειν. 816. Vulg. αὖτ' ἴσασι. Dies XXIX.

819. Schaef. coni. νέα τε. Vulg. πολυκλήϊδα, videsis me de extr. Od. part. p. 193. sqq. Videntur quaedam in h. l. turbata esse.

822. Vulg. μεσσήη· παῦροι δὲ μετ' εἰκ. Intelligit dies IV. XIV. XXIV.

ἠοῦς γιγνομένης· ἐπὶ δείελα δ' ἐστὶ χερείων.

Αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ·
αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.
ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δέ τ' ἴσασιν.
ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ. [770. Br.]
τάων εὐδαίμων τε καὶ ὄλβιος, ὃς τάδε πάντα
εἰδὼς ἐργάζηται, ἀναίτιος ἀθανάτοισιν,
828 Gr. [773. Br.] ὄρνιθας κρίνων, καὶ ὑπερβασίας ἀλεείνων.

---

823. Var. lect. γεινομένης· vulg. ἐπιδείελα. 825. Cfr. lib. I. p. 159. Vossius parum recte interpretatur.

EMENDANDA ET ADDENDA.

V. 69. leg. **οἵ δ'.** v. 130. Dele posteriorem numerum. V. 189. not. Adde: Vulg. **οὐδὲ μὲν**, Brunck. coni. **οὐδέ κεν.** V. 201. Var. lect. **φῦλ'. ἶτον.** V. 259. Var. lect. **κυδνή, κεδνή.** V. 280. not. leg. **ἐπ'.** In eodem v. extr. excidit punctum; item in v. 433. extr. V. 455. et 456. med. cola ponas.

Sumtibus librariae *Weidmanniae* prodierunt:

Aeneae, Tactici, Commentarius de toleranda obsidione, graece, ad Codd. MSS. Parisienses et Mediceum recensuit, versionem lat. et commentarium integrum *Is. Casauboni*, notas Iac. *Gronovii*, G. H. C. *Koesii*, Casp. *Orellii* aliorumque et suas adiecit Io. Conr. *Orellius*. Cum tab. aeri incisa. 8 maj. 1818. Charta impress. 1 thlr. 8 gr.

— — Idem liber, charta script. gall. 1 thlr. 16 gr.

Αἰσώπου Μῦθοι. Die Fabeln des *Aesop*. Zum Gebrauche der Schulen mit zweckmässigen meist grammatischen Anmerkungen und einem Griechisch-Deutschen Wortregister versehen von Dr. H. F. M. *Volger*. 8. 1811. Charta impress. 15 gr.

— — Idem liber, charta script. 18 gr.

Benedicti, M. Traug. Friderici, Commentarii critici in octo *Thucydidis* libros. 8 maj. 1815. Charta impress. 1 thlr.

— — Idem liber, charta scriptoria gall. 1 thlr. 6 gr.

Choerili, Samii, quae supersunt. Collegit et illustravit, de Choerili Samii aetate, vita et poësi aliisque Choerilis disseruit Dr. Aug. Ferd. *Naekius*. Inest de Sardanapali epigrammatis disputatio. 8 maj. 1817. Charta impressoria. 1 thlr. 6 gr.

— — Idem liber, charta scriptoria. 1 thlr. 12 gr.

Demosthenis Oratio de Corona, quam denuo recognovit et cum Ioa. *Taylori*, H. *Wolfii*, I. *Marklandi*, I. *Palmerii*, I. I. *Reiskii* suisque animadversionibus auctioribus iterum edidit Gottl. Christoph. *Harless*. 8 maj. 1814. Charta impress. 1 thlr. 16 gr.

— — Idem liber, charta script. gall. 2 thlr. 6 gr.

* — — Idem liber, charta pergam. (velin) 3 thlr. 8 gr.

Demosthenis Philippica I. Olynthiacae III. et de Pace, selectis aliorum suisque notis instruxit M. Carol. Aug. *Rüdiger*. 8 maj. 1818. Charta impress. 21 gr. et 1 thlr.

— — Idem liber, charta script. 1 thlr. 4 gr.

Eichhorn, Io. Godofr., antiqua historia ex ipsis veterum scriptorum Graecorum narrationibus contexta. IV Tomi. c. Indd. 8 maj. 1811 — 13. 10 thl. 8 gr.

Etiam sub titulis sequ. separatim venduntur:

Eichhorn, Io. Godofr., antiqua *Asiae* historia, ex ipsis vet. script. Graecorum narrationibus contexta. 8 maj. 1811. 2 thlr. 12 gr.

— — antiqua *Africae* historia etc. 8 maj. 1811. 1 thlr.

— — antiqua *Graeciae* historia etc. 8 maj. 1811. 1 thlr. 20 gr.

— — antiqua *Italiae* historia etc. Pars I. 8 maj. 1812. 3 thlr. 3 gr.

— — antiqua *Italiae* historia etc. Pars II. 8 maj. 1813. 1 thlr. 21 gr.

Epistolae Parisienses, in quibus de rebus variis, quae ad studium antiquitatis pertinent, agitur. Editae a Prof. G. G. *Bredow*. 8 maj. 1812. Charta impress. 1 thlr. 6 gr.

— — Idem liber, charta scriptor. 1 thlr. 12 gr.

*— — Idem lib., charta membr. (velin) 1 thlr. 20 gr.

Göller, Franc., de situ et origine Syracusarum ad explicandam *Thucydidis* potissimum historiam scripsit atque *Philisti* et *Timaei* rerum Sicularum Fragmenta adiecit. Acc. tabula topograph. Syracusarum. 8 maj. 1818. Charta impr. 1 thlr. 12 gr.

— — Idem liber, charta script. gall. 1 thlr. 18 gr.

Hottingeri, Io. Iac., Opuscula philologica, critica atque hermeneutica. 8 maj. 1817. Charta impress. 1 thlr. 12 gr.

— — Idem liber, charta script. gall. 2 thlr.

*— — Idem liber, charta membr. (velin) 2 thl. 16 gr.

Isocratis Panegyricus. Textum recognovit, cum animadversionibus Dr. S. F. N. *Mori* suisque edidit F. A. Guil. *Spohn*. 8 maj. 1817. Charta script. 21 gr.

*— — Idem liber, charta belg. opt. 1 thlr. 8 gr.

Nicephori Blemmidae duo opuscula geographica. Nunc primum edidit F. A. Guil. *Spohn*. Accedunt fig. geograph. 4 maj. 1818. Charta impress. 16 gr.

— — Idem liber, charta script. 20 gr.

Opuscula Graecorum veterum sententiosa et moralia. Graece et Latine. Collegit, disposuit, emendavit et illustravit Io. Conr. *Orellius*. Tom. Ius. 8 maj. Charta impress. 3 thlr. 8 gr.

— — Idem liber, charta script. 1819. 3 thlr. 18 gr.

*— — Idem liber, charta membranacea. (velin) 4 thlr. 8 gr.

Platonis, quae exstant Opera. Accedunt *Platonis*, quae feruntur Scripta. Ad optimorum librorum fidem recensuit, in latinum convertit, annotationibus explanavit indicesque rerum ac verborum accuratissimos adiecit Frid. *Astius*. Tom. Ius, cont. Protagoram, Phaedrum, Gorgiam et Phaedonem. 8 maj. 1819. Charta impr. 2 thlr. et 2 thlr. 8 gr.

— — Idem liber, charta script. 2 thlr. 18 gr.

*— — Idem liber, charta membranacea. (velin) 4 thl.

Platonis Leges et Epinomis ad optimorum librorum fidem emendavit, perpetua adnotatione illustravit et indices rerum ac verborum adiecit D. Frider. *Astius*. II Tomi. 8 maj. 1814. Charta impress. 5 thlr.

— — Idem liber, charta script. gall. 6 thlr. 12 gr.

*— — Idem liber, charta membr. (velin). 10 thlr.

Platon's Leben und Schriften. Ein Versuch, im Leben wie in den Schriften das Wahre und Aechte vom Erdichteten und Untergeschobenen zu scheiden, und die Zeitfolge der ächten Gespräche zu bestimmen. Als Einleitung in das Studium des Platon herausg. von Dr. Friedr. *Ast*. gr. 8. 1816. auf Druckp. 2 thlr.

— — dasselbe Buch, auf Schreibp. 2 thlr. 12 gr.

Polybii editionis *Schweighaeuseranae* Supplementum, contitinens *Aeneae*, Tactici, Commentarium de toleranda obsidione ad codd. mss. et editionum fidem recensitum, Is. *Casauboni* aliorumque et suis annotatt. illustratum edidit Io. Conr. Orellius. Cum tab. aeri incisa. 8 maj. 1818. Charta script. 1 thlr. 16 gr.

*— — Idem liber. Charta belg. opt. 2 thlr. 12 gr.

Prisciani, Caesariensis Grammatici, Opera. Ad vetustiss. Codicum, nunc primum collatorum, fidem recensuit, emaculavit, lect. varietatem notavit et indices adiecit Augustus *Krehl*. Vol. Ium, cont. de arte grammatica libros XVI. 8 maj. 1819. Charta impress. 2 thlr. 18 gr.

— — Idem liber, charta script. 3 thlr. 6 gr.

Spohn, F. A. Guil., Commentatio de extrema Odysseae parte inde a rhapsod. ψ versu CCXCVII aevo recentiore orta, quam Homerico. 8 maj. 1816. Charta impr. 1 thlr. 8 gr.

— — Idem liber, charta script. 1 thlr. 12 gr.

*— — Idem liber, charta membran. (velin) 2 thlr.

This book is due two weeks from the last date stamped below, and if not returned at or before that time a fine of five cents a day will be incurred.

*— — Idem liber, charta membranacea. (velin) 4 thlr. 8 gr.

Platonis, quae exstant Opera. Accedunt *Platonis*, quae feruntur Scripta. Ad optimorum librorum fidem recensuit, in latinum convertit, annotationibus explanavit indicesque rerum ac verborum accuratissimos adiecit Frid. *Astius*. Tom. Ius, cont. Protagoram, Phaedrum, Gorgiam et Phaedonem. 8 maj. 1819. Charta impr. 2 thlr. et 2 thlr. 8 gr.

— — Idem liber, charta script. 2 thlr. 18 gr.

*— — Idem liber, charta membranacea. (velin) 4 thl.

Platonis Leges et Epinomis ad optimorum librorum fidem emendavit, perpetua adnotatione illustravit et indices rerum ac verborum adiecit D. Frider. *Astius*. II Tomi. 8 maj. 1814. Charta impress. 5 thlr.

— — Idem liber, charta script. gall. 6 thlr. 12 gr.

*— — Idem liber, charta membr. (velin). 10 thlr.

Platon's Leben und Schriften. Ein Versuch, im Leben wie in den Schriften das Wahre und Aechte vom Erdichteten und Untergeschobenen zu scheiden, und die Zeitfolge der ächten Gespräche zu bestimmen. Als Einleitung in das Studium des Platon herausg. von Dr. Friedr. *Ast*. gr. 8. 1816. auf Druckp. 2 thlr.

— — dasselbe Buch, auf Schreibp. 2 thlr. 12 gr.

Polybii editionis *Schweighaeuseranae* Supplementum, contitinens *Aeneae*, Tactici, Commentarium de toleranda obsidione ad codd. mss. et editionum fidem recensitum, Is. *Casauboni* aliorumque et suis annotatt. illustratum edidit Io. Conr. Orellius. Cum tab. aeri incisa. 8 maj. 1818. Charta script. 1 thlr. 16 gr.

*— — Idem liber. Charta belg. opt. 2 thlr. 12 gr.

Prisciani, Caesariensis Grammatici, Opera. Ad vetustiss. Codicum, nunc primum collatorum, fidem recensuit, emaculavit, lect. varietatem notavit et indices adiecit Augustus *Krehl*. Vol. Ium, cont. de arte grammatica libros XVI. 8 maj. 1819. Charta impress. 2 thlr. 18 gr.

— — Idem liber, charta script. 3 thlr. 6 gr.

Spohn, F. A. Guil., Commentatio de extrema Odysseae parte inde a rhapsod. ψ versu CCXCVII aevo recentiore orta, quam Homerico. 8 maj. 1816. Charta impr. 1 thlr. 8 gr.

— — Idem liber, charta script. 1 thlr. 12 gr.

*— — Idem liber, charta membran. (velin) 2 thlr.

Οὗτος μὲν πανάριστος etc. v. 295.

88H464 LE19

*— — Idem liber, charta membranacea. (velin) 4 thlr. 8 gr.

Platonis, quae exstant Opera. Accedunt *Platonis*, quae feruntur Scripta. Ad optimorum librorum fidem recensuit, in latinum convertit, annotationibus explanavit indicesque rerum ac verborum accuratissimos adiecit Frid. *Astius*. Tom. Ius, cont. Protagoram, Phaedrum, Gorgiam et Phaedonem. 8 maj. 1819. Charta impr. 2 thlr. et 2 thlr. 8 gr.

— — Idem liber, charta script. 2 thlr. 18 gr.

*— — Idem liber, charta membranacea. (velin) 4 thl.

Platonis Leges et Epinomis ad optimorum librorum fidem emendavit, perpetua adnotatione illustravit et indices rerum ac verborum adiecit D. Frider. *Astius*. II Tomi. 8 maj. 1814. Charta impress. 5 thlr.

— — Idem liber, charta script. gall. 6 thlr. 12 gr.

*— — Idem liber, charta membr. (velin). 10 thlr.

Platon's Leben und Schriften. Ein Versuch, im Leben wie in den Schriften das Wahre und Aechte vom Erdichteten und Untergeschobenen zu scheiden, und die Zeitfolge der ächten Gespräche zu bestimmen. Als Einleitung in das Studium des Platon herausg. von Dr. Friedr. *Ast*. gr. 8. 1816. auf Druckp. 2 thlr.

— — dasselbe Buch, auf Schreibp. 2 thlr. 12 gr.

Polybii editionis *Schweighaeuseranae* Supplementum, contitinens *Aeneae*, Tactici, Commentarium de toleranda obsidione ad codd. mss. et editionum fidem recensitum, Is. *Casauboni* aliorumque et suis annotatt. illustratum edidit Io. Conr. Orellius. Cum tab. aeri incisa. 8 maj. 1818. Charta script. 1 thlr. 16 gr.

*— — Idem liber. Charta belg. opt. 2 thlr. 12 gr.

Prisciani, Caesariensis Grammatici, Opera. Ad vetustiss. Codicum, nunc primum collatorum, fidem recensuit, emaculavit, lect. varietatem notavit et indices adiecit Augustus *Krehl*. Vol. Ium, cont. de arte grammatica libros XVI. 8 maj. 1819. Charta impress. 2 thlr. 18 gr.

— — Idem liber, charta script. 3 thlr. 6 gr.

Spohn, F. A. Guil., Commentatio de extrema Odysseae parte inde a rhapsod. ψ versu CCXCVII aevo recentiore orta, quam Homerico. 8 maj. 1816. Charta impr. 1 thlr. 8 gr.

— — Idem liber, charta script. 1 thlr. 12 gr.

*— — Idem liber, charta membran. (velin) 2 thlr.

Οὗτος μὲν πανάριστος etc. v. 295.

88H464 LE19